# ΑΚΟΛΟΥΘΙΑ.

ΤΩΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΩΝ ΗΜΩΝ,

## ΑΘΑΝΑΣΙΟΥ ΚΑΙ ΚΥΡΙΛΛΟΥ.

ΠΑΤΡΙΑΡΧΩΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

Νῦν πρῶτον τύποις ἐκδοθεῖσα δαπάνῃ

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΘΕΙΟΤΑΤΟΥ ΚΑΙ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ
ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

## ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ Γ'

Ἐπὶ τῷ διανεμηθῆναι δωρεὰν ταῖς Ἱεραῖς Ἐκκλησίαις.

Προσετέθη δὲ καὶ ἑτέρα Ἀκολουθία
ΤΟΥ
ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΕΡΟΘΕΟΥ ΕΠΙΣΚΟΠΟΥ
ΑΘΗΝΩΝ·

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ.

Κατὰ τὴν ἐν Νεοχωρίῳ Τυπογραφίαν τοῦ Παναγίου Τάφου.

ΠΑΡΑ
Χ. ΙΩΑΚΕΙΜ ΔΗΜΗΤΡΙΟΥ, καὶ ΚΩΝΣΤΑΝΤΙΝΩ ΙΩΑΝΝΙΔΗ.

1840.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μνήμη δικαίων μετ' ἐγκωμίων. Παροιμία. Κεφ. ιά. 7.

Οἱ τοὺς ἀγαθοὺς ἐπαινοῦντες, μεριςαὶ τῶν ἐκείνοις ἀποκειμένων ςεφάνων εἰσί.

Χρυσοςόμου.




ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ.

Χρέος ἱερὸν ἑκάςου χριςιανοῦ ἐςι, τὸ, νὰ σέβηται καὶ τιμᾷ πάντας μὲν τοὺς Ἁγίους, οὓς ἡ καθόλου τῶν Ὀρθοδόξων Ἐκκλησία πρεσβεύει, ἐξαιρέτως δὲ, τὸν ὁμώνυμον αὐτῷ Ἅγιον.

Ὑπὸ θερμῆς λοιπὸν καὶ ἡμεῖς εὐλαβείας, καὶ τιμῆς διαφερούσης, τῆς πρὸς τὸν ὁμωνυμοῦντα ἡμῖν Ἅγιον, τὸν μέγαν τῆς Ἐκκλησίας φωςῆρα, καὶ τῆς Ἀθανασίας ἐπώνυμον κινούμενοι, καὶ τὸν θερμὸν ἡμῶν πόθον πρὸς τὸν ὑπέρμαχον τῆς Ἁγίας Τριάδος Ἱεράρχην Κύριλλον ἀφοσιούμενοι, ἐκδίδομεν ἤδη πρῶτον εἰς φῶς, πλήρη τὴν αὐτῶν ἀκολουθίαν, ἐν τῷ παρόντι ἰδιαιτέρῳ φυλλαδίῳ πρὸς ψυχικὴν ἡμῶν τε καὶ τῶν ἁπανταχοῦ Ὀρθοδόξων ὠφέλειαν.

Τούτων τῶν Μεγάλων Ἱεραρχῶν καὶ Διδασκάλων τῆς Ἐκκλησίας, τοὺς μεγίςους ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας, τὸν ἀκάματον ζῆλον τοὺς ὑπὲρ Χριςοῦ διαφόρους πειρασμοὺς, τοὺς ὑπὲρ τῆς Ἁγίας Τριάδος ἀπείρους διωγμοὺς, καὶ τὰς ἀπείρους θλίψεις καὶ ςενοχωρίας, παραιτούμεθα ἐπὶ τοῦ παρόντος ὡς ἔργον ὄντα μακρᾶς διηγήσεως.

Πρὸς πληροφορίαν δὲ τῶν Ὀρθοδόξων, λέγομεν συντόμως, ὅτι ὁ μὲν μέγας Ἀθανάσιος, ἐν τῇ κατὰ Νίκαιαν πρώτῃ Οἰκουμενικῇ Συνόδῳ, συγκροτηθείσῃ κατὰ τὸ 325 ἔτος, τάς τε τῶν ἀντιθέων Ἀρειανῶν κατὰ Θεοῦ δυσσεβεῖς βλασφημίας, καὶ τὰς Σαβελλίου ὀλεθρίους καινοτομίας, σοφώτατα διαλύσας κατέρραξεν αὐτῶν τὴν ἀγέρωχον ὀφρῦν, καὶ τὸ μνημόσυνον αὐτῶν μετὰ πολλοῦ τοῦ ἤχου ἐξήλειψε· καὶ οὕτω κλονουμένην τὴν Ἐκκλησίαν ἐςήριξε, καὶ τὴν εὐσέβειαν τέλεον ἀφανισθῆναι κινδυνεύουσαν ἐκράτυνε, Σάλπιγγος τορώτερον τοῖς ἁπανταχοῦ

ταχοῦ Ὀρθοδόξοις κηρύξας τὴν ἀλήθειαν, καθὰ φησιν ὁ μέγας ἐν Θεολογίᾳ Γρηγόριος, εἰς ὅπερ ἔπλεξε γλαφυρώτατον ἐγκώμιον εἰς τὴν Ἱεραρχικὴν τοῦ Ἁγίου κορυφὴν, ἀρχόμενον οὕτως

Ἀθανάσιον ἐπαινῶν, ἀρετὴν ἐπαινέσομαι.

Ὁ δὲ θεῖος Κύριλλος, Ἔξαρχος καὶ προστάτης ὢν τῆς ἐν Ἐφέσῳ Ἁγίας, καὶ Οἰκουμενικῆς Τρίτης Συνόδου, τῷ 431 ἔτει συγκροτηθείσης, τὸν δυσσεβῆ καθεῖλε Νεστόριον, πολλὰ καὶ δεινὰ βλασφημοῦντα κατὰ τῆς Παναγνου Δεσποίνης ἡμῶν Θεοτόκου. πόσα δὲ, καὶ οἷα δεινὰ ὑπέστη ὑπὸ τῶν τότε Αἱρετικῶν ὁ ἀοίδιμος, μακρὸν ἂν εἴη λέγειν.

Ἀμφοτέρων δὲ τῶν Ἁγίων τὰ ἱερὰ Συγγράμματα, πλείστης ὅσης ὠφελείας πᾶσι τοῖς ἐντυγχάνουσι πρόξενα, ὡς ἀριθμὸν νικῶντα, καὶ γραφῇ παραδοῦναι σχεδὸν ἀδύνατον.

Δέξασθε τοίνυν εὐσεβεῖς καὶ φιλόχριστοι, τὴν παροῦσαν Ἱερὰν ἀκολουθίαν τῶν δύο τούτων Μεγάλων τῆς Ἐκκλησίας Διδασκάλων καὶ Ἱεραρχῶν, (περὶ τὰ τέλη τῆς ὁποίας προσετέθησαν καὶ τινες Εὐχαὶ κατανυκτικώταται, καὶ πάνυ ὠφέλιμοι τοῖς ἀναγινώσκουσι.) καὶ χρῆσθε ταύτῃ, ἑορτάζοντες καὶ δοξολογοῦντες αὐτοὺς, μάλιστα οἱ ὁμωνυμοῦντες αὐτοῖς· εὐχόμενοι ἡμῖν τοῖς ἐκδιδοῦσιν αὐτὴν, ψυχικὴν σωτηρίαν, καὶ ἔλεος παρὰ Θεοῦ.

ὁ Ἐκδότης.

ΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠ

# ΙΑΝΝΟΥΑΡΙΟΥ. ΙΗ.

## ΜΝΗΜΗ ΤΩΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΩΝ ΗΜΩΝ

## ΑΘΑΝΑΣΙΟΥ καὶ ΚΥΡΙΛΛΟΥ

### ΠΑΤΡΙΑΡΧΩΝ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

Εἰς τὸ Κύριε ἐκέκραξα. στιχ: ς: ἦχος δ'
Παλαιὰ προσόμοια.
Ὡς γενναῖον ἐν Μάρτυσι·

Διωγμοὺς ἐκαρτέρησας, καὶ κινδύνους ὑπέμεινας, Θεοῤῥῆμον Ὅσιε Ἀθανάσιε, ἕως τὴν πλάνην ἐξώρισας, Ἀρείου τὴν ἄθεον, καὶ τὴν Ποίμνην τῆς αὐτοῦ ἀσεβείας διέσωσας, ὁμοούσιον, τῷ Πατρὶ δογματίζων τὸν υἱόν τε, καὶ τὸ Πνεῦμα ὀρθοδόξως, Ἱερουργὲ Παμμακάριστε.

Ἀστραπαῖς τοῦ κηρύγματος, τοὺς ἐν σκότει ἐφώτισας, καὶ τὴν πλάνην ἅπασαν ἀπεδίωξας, προκινδυνεύων τῆς πίστεως, στεῤῥὲ Ἀθανάσιε, ὡς ποιμὴν ἀληθινὸς, ὡς ἑδραίωμα ἄσειστον, παναοίδιμε, τῆς Χριστοῦ Ἐκκλησίας, διὰ τοῦτο, συνελθόντες σε τιμῶμεν, μελῳδικῶς ἀγαλλόμενοι.

Ἀρετὴν πᾶσαν ἤσκησας, ἐπιμόνως θεόπνευστε, καὶ χρισθεὶς τῷ Πνεύματι, χρίσμα ἅγιον, Ἱερουργὸς Ἱερώτατος, σαφῶς ἐχρημάτισας, καὶ ποιμὴν ἀληθινὸς, καὶ τῆς πίστεως πρόμαχος, ὅθεν ἅπασα, Ἐκκλησία δοξάζει, σοῦ τὴν μνήμην, ἱερῶς ἐπιτελοῦσα, καὶ τὸν Σωτῆρα δοξάζουσα.

Ἕτερα, τοῦ Ἁγίου Κυρίλλου· ὅμοια·

Τοῖς πυρίνοις σου δόγμασι, τῶν αἱρέσεων ἅπασα, φρυγανώδης φλέγεται ὕλη πάνσοφε, τῶν νοημάτων τοῖς βάθεσι, βυθίζεται ςράτευμα, ἀπειθούντων δυσσεβῶν, Κύριλλε τοῖς σοῖς δόγμασι, τῆς σοφίας σου, καλλωπίζεται Μάκαρ καθ' ἑκάςην, τῶν πιςῶν ἡ Ἐκκλησία, μεγαλοφώνως τιμῶσά σε.

Εὐφραδίᾳ τῶν λόγων σου, ἱερώτατε Κύριλλε. Ἐκκλησία ἅπασα ὡραΐζεται, καὶ εὐσεβῶς καλλωπίζεται, ὡραίοις ἐν κάλλεσι, καὶ τιμᾷ σου ἱερῶς, τὴν ἁγίαν καὶ εὔσημον, μνήμην ἔνδοξε, Ὀρθοδόξων τὸ κλέος, τῶν Πατέρων, κορυφαῖε τῆς Συνόδου, τῆς Παναγίας ὑπέρμαχε·

Τῆς Χριςοῦ ἀπεδίωξας, νοητοὺς λύκους Κύριλλε, Ἐκκλησίας σκίμπωνι τῶν δογμάτων σου, καὶ ταύτην κύκλῳ ἐτείχισας, λόγων ὀχυρώμασι, παραςήσας τῷ Χριςῷ, ἀσινῆ καὶ ἀλώβητον, ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίςει ἐκτελοῦντας, τὴν ἀεισέβαςον μνήμην σου·

Δόξα. ἦχος πλ. β'.

Κυρίλλου Πατριάρχου Κωνςαντινουπόλεως·

Ἱεραρχῶν τοὺς ἀρχηγοὺς, Πατριαρχῶν τοὺς ἀκραίμονας, καὶ παμφαεῖς φωςῆρας τῆς Οἰκουμένης, τῶν ἐννοιῶν τοῦ Χριςοῦ τοὺς ἐκφάντορας, συνελθόντες ὦ φιλέορτοι, πνευματικοῖς ἐγκωμίοις αἰνέσωμεν λέγοντες· χαίροις Πάτερ Ἀθανάσιε, τῆς Ἀθανασίας ἐπώνυμε, ὁ τὸν λῃρώδη Ἄρειον, καθάπερ λύκον ἐκσφενδονήσας τῆς ποίμνης τοῦ Χριςοῦ τῇ ἐλαςικῇ σφενδόνῃ τῶν θεοσόφων δογμάτων σου· χαίροις ἀςὴρ παμφαέςατε, τῆς Ἀειπαρθένου ὑπέρμαχε, ὁ ςεντορίως αὐτὴν Θεοτόκον, ἐν μέσῳ τοῦ ἐν Ἐφέσῳ Ἱεροῦ Συλλόγου ἀνακηρύξας λαμπρῶς, καὶ τῶν Νεςορίου λῃρημάτων καθαιρέτα, παμμακάριςε Κύριλλε! χαίρετε θεολογίας πηγαὶ, θεοσοφίας ποταμοὶ ἀέναοι, καὶ βρύσεις θείας γνώσεως ἀλλ' ὦ πάνσοφοι Πατέρες τρισμακάριοι, μὴ παύσητε πρεσβεύοντές Χριςῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίςει καὶ πόθῳ τελούντων ἀεὶ τὴν Ἱερὰν ὑμῶν καὶ σεβασμίαν πανήγυριν.



Καὶ νῦν ὁ αὐτός·

Τὴν τῶν Παρθένων καλλονὴν, καὶ χαρμονὴν τῶν νέων, τὴν μόνην Θεοτόκον, καὶ τῶν Πιςῶν ἀρραγὲς περιτείχισμα, συνελθόντες ὦ φιλέορτοι, ᾀσματικοῖς ἐγκωμίοις, ὑμνήσωμεν λέγοντες· χαίροις Παρθενομήτορ Ἁγνὴ, Λυχνία χρυσαυγὴς, καὶ Πύλη ἐπουράνιε, χαίροις Σκηνὴ Ἁγιάσματος, ἡ τὸν Θεὸν χωρήσασα ἐν μήτρασου Πανάχραντε· χαίροις τῶν οὐρανίων ταγμάτων ὑπερτέρα, ἁπάντων ἀσύγκριτος, διὸ Μητράνανδρε Δέσποινα, μὴ λείπῃς φρουροῦσα τοὺς δούλους σου, τοὺς ἀνυμνοῦντάς σε Πίςει καὶ πόθῳ ἀεὶ, καὶ τὸν τόκον σου προσκυνοῦντας τὸν ἄσπορον.

Εἴσοδος, Προκείμενον· τῆς ἡμέρας·

καὶ τὰ Ἀναγνώσματα· Κεφ: ά: 8

Δευτερονομίου τὸ ἀνάγνωσμα.

Εἶπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραὴλ, ἴδετε, παραδέδωκα ἐνώπιον ὑμῶν τὴν Γῆν· εἰσελθόντες κληρονομήσατε τὴν Γῆν, ἣν ὤμοσε Κύριος τοῖς Πατράσιν ὑμῶν, τῷ Ἀβραὰμ, καὶ τῷ Ἰσαὰκ, καὶ τῷ Ἰακὼβ, δοῦναι αὐτοῖς αὐτὴν, καὶ τῷ σπέρματι αὐτῶν μετ' αὐτούς. καὶ εἶπον πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων· οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς Κύριος ὁ Θεὸς ὑμῶν ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδοὺ ἐςὲ σήμερον ὡς τὰ ἄςρα τοῦ Οὐρανοῦ τῷ πλήθει· Κύριος ὁ Θεὸς τῶν Πατέρων ἡμῶν προσθείη ὑμῖν, ὡς ἐςὲ χιλιοπλασίως, καὶ εὐλογῆσαι ὑμᾶς, καθότι ἐλάλησεν ὑμῖν. καὶ ἔλαβον ἐξ ὑμῶν ἄνδρας σοφοὺς, καὶ ἐπιςήμονας, καὶ συνετοὺς, καὶ κατέςησα αὐτοὺς ἡγεῖσθαι ἐφ' ὑμῶν, χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους, καὶ δεκάρχους, καὶ γραμματοεισαγωγεῖς τοῖς Κριταῖς ὑμῶν, καὶ ἐνετειλάμην τοῖς Κριταῖς ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· διακούετε ἀναμέσον τῶν ἀδελφῶν ὑμῶν, καὶ κρίνετε δικαίως ἀναμέσον ἀνδρὸς, καὶ ἀναμέσον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΜΟΓΙΑΝΤΟΡΗΣ ΠΑΠΑ

καὶ ἀναμέσον τοῦ προσηλύτου αὐτοῦ. οὐκ ἐπιγνώσεσθε πρόσωπον ἐν κρίσει· κατὰ τὸν μικρὸν, καὶ κατὰ τὸν μέγαν κρινεῖς. οὐμὴ ὑποςείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐςι.

Δευτερονομίου τὸ Ἀνάγνωσμα. Κεφ: ί: 14

Εἶπε Μωσῆς πρὸς τοὺς υἱοὺς Ἰσραὴλ· ἰδοὺ Κυρίου τοῦ Θεοῦσου, ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ, ἡ γῆ, καὶ πάντα ὅσα ἐςὶν ἐν αὐτοῖς. πλὴν τοὺς πατέρας ἡμῶν προείλετο Κύριος ἀγαπᾶν αὐτοὺς, καὶ ἐξελέξατο τὸ σπέρμα αὐτῶν μετ' αὐτοὺς, ὑμᾶς παρὰ πάντα τὰ ἔθνη, κατὰ τὴν ἡμέραν ταύτην· καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε ἔτι· ὁ γὰρ Κύριος ὁ Θεὸς ἡμῶν, οὗτος Θεὸς τῶν Θεῶν, καὶ Κύριος τῶν Κυρίων. ὁ Θεὸς ὁ Μέγας, καὶ ἰσχυρὸς, καὶ φοβερὸς, ὅς τις οὐ θαυμάζει πρόσωπον, οὐδὲ μὴ λάβῃ δῶρον. ποιῶν κρίσιν προσηλύτῳ, καὶ ὀρφανῷ, καὶ χήρᾳ, καὶ ἀγαπᾷ τὸν προσήλυτον, δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον. Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ, Αὐτὸς καύχημάσου, καὶ αὐτὸς Θεός σου ὅς τις ἐποίησέ σοι τὰ μεγάλα καὶ ἔνδοξα ταῦτα, ἃ εἶδον οἱ ὀφθαλμοί σου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. Κεφ: γ': 1:

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. οἱ πεποιθότες ἐπ' αὐτῷ συνή-



συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιςοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν· Ἦχος α'. Γερασίμου Ἀλεξανδρείας.

Η σοφία τοῦ Θεοῦ τὰς ἐν κόσμῳ θλίψεις, καὶ τὰ τῶν ἐχθρῶν παλαίσματα, ὡς χωνευτήριον τίμιον ἡτοιμάσατο, ἐν ᾧ τὸ καθαρώτατον χρυσίον, Ἀθανάσιον τὸν πάνσοφον Ἱεράρχην, τὸν Ἀλεξανδρείας λαμπρότατον φωςῆρα, ἀξιοπρεπῶς ἐδοκίμασε, καὶ ἄξιον εὑραμένη, ὡς δακτύλιον δεξιᾷ τῇ ἁγίᾳ κατεσκεύασε. διὸ καὶ τὴν μακαρίαν αὐτοῦ ψυχὴν, ὡς Νύμφην ἰδίαν ἐνυμφεύθη, ταύτῃ εὐφραινομένη εἰς τοὺς αἰῶνας.

ὁ αὐτός.

Η σοφία τοῦ Θεοῦ, τοὺς ἑαυτῆς θησαυροὺς ἐν τῷ Κυρίλλῳ κατέκρυψε. διὸ, μηκέτι γῆν διορύξαντες, φθορᾶς θησαυρῶν φροντίσωμεν, καὶ τούτοις πλουτισθῆναι σπεύσωμεν· πρόσκαιρον γὰρ τὴν ἀπόλαυσιν ἕξομεν. τῶν δὲ τῆς θεοσοφίας θησαυρῶν Κυρίλλου τοῦ τρισμάκαρος αἰωνίως ἀπολαύοντες, ἐν ταῖς ψυχαῖς ἡμῶν φυλάξωμεν.

ὁ αὐτός.

Η σοφία τοῦ Θεοῦ, ἄνθρωπον ἐν ἀρχῇ ἔπλασεν, ἐκ ψυχῆς καὶ σώματος αὐτὸν συςησαμένη, ἐν ᾧ τὰ πάντα τεθαύμαςαι. ἀλλ' ἐν τῇ καινῇ ἀναπλάσει, ἄνθρωπον Θεῷ ἡρμόσατο· οὗ τὴν ἄρρητον, καὶ δυσερμήνευτον ἕνωσιν, παρέδωκαν ἡμῖν, οἱ Χριςοῦ τοῦ Θεοῦ ἡμῶν, Ἱερώτατοι Διδάσκαλοι, τὴν ἐν τῷ Υἱῷ μίαν τοῦ συνθέτου ὁμολογοῦντες ὑπόςασιν, καὶ δύω τὰς θελήσεις ἐν αὐτῇ τῇ μιᾷ ὑποςάσει. ξένον ἄκουσμα· ξένον θέαμα. ξένων ψυχῶν ἀγαλλίαμα.

ἦχος πλ. β'.

Δεῦτε συνευφρανθῶμεν πάντες οἱ γηγενεῖς ἐπὶ τῇ μνήμῃ τῶν σοφωτάτων Διδασκάλων· αὐτοὶ γὰρ ὡς παλαιςαὶ ἀξιόθεοι, καὶ πρόμαχοι τῆς ἀληθείας πιςότατοι, ἐχθροῖς τοῖς ἀοράτοις καὶ ὁρατοῖς, εὐσεβοφρόνως ἀντέ-

ἀντέστησαν · ὅθεν ἐν οὐρανοῖς, στεφάνοις τῆς Ἀθανασίας αὐτοὺς ἐστέψατο ὁ τῶν ἁπάντων βασιλεύς · καὶ νῦν μετ' Ἀγγέλων χορεύοντες, ὑμνοῦσιν ἀκαταπαύστως αὐτὸν, τρισαγίοις ᾄσμασι. τὸν ἐν Τριάδι Ὁμοούσιον.

ἦχος γ · Γερμανοῦ Πατριάρχου.

Ἡ μεγάλη τῆς Ἐκκλησίας σάλπιγξ, ὁ πολύαθλος Ἀθανάσιος, πρὸς εὐωχίαν σήμερον, συγκαλεῖται τὴν Οἰκουμένην. φαιδρῶς πάντες πιστοὶ, πρὸς τὴν πανήγυριν ὑπαντήσωμεν, τοῦ καλοῦ Ποιμένος, ὕμνοις γεραίροντες τοὺς ἱεροὺς αὐτοῦ πόνους, ὅπως ταῖς πρεσβείαις αὐτοῦ, λάβωμεν παρὰ Χριστοῦ τοῦ Θεοῦ τὸ μέγα ἔλεος.

ὁ αὐτός.

Τὸ μέγα κλέος τῶν Ἱερέων, Ἀθανάσιον τὸν ἀήττητον ἀριστέα, ἱεροπρεπῶς εὐφημήσωμεν. οὗτος γὰρ τῶν αἱρέσεων συγκόψας τὰς φάλαγγας, τῇ δυνάμει τοῦ Πνεύματος, τὰ τῆς ὀρθοδοξίας τρόπαια, ἀνεστήσατο καθ' ὅλης τῆς Οἰκουμένης, ἀριθμῶν εὐσεβῶς τὸ τῆς Τριάδος Μυστήριον, διὰ τὴν τῶν προσώπων ἰδιότητα, καὶ πάλιν συνάπτων ἀσυγχύτως εἰς ἓν, διὰ τὴν τῆς οὐσίας ταυτότητα, καὶ Χερουβικῶς θεολογῶν, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν ·

ἦχος α.

Τῇ τῶν ᾀσμάτων τερπνότητι, τῶν Διδασκάλων εὐφημήσωμεν τὴν παροῦσαν ἡμέραν, καὶ ἠχήσωμεν αὐτῶν τὰ ἀγωνίσματα. πρόκεινται γὰρ οὗτοι ἡμῖν εἰς εὐφημίαν, οἱ Χριστοῦ Ζηλωταί. καὶ γὰρ τὰς τῶν Αἱρετιζόντων ἐρεσχελίας καθελόντες, Τριάδα σέβειν ἡμᾶς ἐξεπαίδευσαν, καὶ πρεσβεύουσι τῷ Κυρίῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ἦχος β. Νέον ·

Τοὺς Ἱεράρχας Χριστοῦ ὑμνήσωμεν ἅπαντες, Ἀθανάσιον καὶ Κύριλλον· ὅτι τοὺς τῶν Αἱρετιζόντων φληνάφους πάντας κατήργησαν, καὶ τῆς Ἁγίας Τριάδος τὸ κράτος, εἰς πάντα κόσμον τρανῶς καταγγέλουσιν, ἕνα Θεὸν ἐν τρισὶ προσώποις ἀμέριστον. ὢ καὶ πρεσβεύουσιν ὑπὲρ ἡμῶν τῶν



τῶν ἐν πίστει τελούντων τὴν μνήμην αὐτῶν ·

ἦχος πλ. δ'.

Ἱεραρχῶν τοὺς ἀκραίμονας, καὶ παμφαεῖς φωστῆρας τῆς Οἰκουμένης, ἐν ὕμνοις τιμήσωμεν πιστοὶ, Ἀθανάσιον σὺν τῷ Κυρίλλῳ. καὶ Χριστῷ ἐκβοήσωμεν χαρμονικῶς, εὔσπλαγχνε Κύριε, παράσχου τοῖς ἱκέταις, ἱκεσίαις τῶν Διδασκάλων, ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος ·

ἦχος πλ. α · Νέον.

Ὅτε τῆς Ἐκκλησίας προΐστασθε Διδάσκαλοι, τότε Αἱρετιζόντων ἐφράττετε τὰ στόματα · πῶς γὰρ ἠδύναντο ὅλως, ἀντοφθαλμῆσαι τῇ λαμπηδόνι τῶν θεοπνεύστων διδαγμάτων ὑμῶν; διὸ δεόμεθα, Ἱεράρχαι Χριστοῦ, αὖθις τοὺς καθ' ἡμᾶς κακόφρονας ἐπιστομίσατε, ῥυόμενοι ἡμᾶς ἐκ τῶν σκανδάλων αὐτῶν, ἀξιύμνητοι Ἱεράρχαι μέγιστοι.

Δόξα ἦχος πλ. β.

Τοὺς Ἱεράρχας τοῦ Χριστοῦ, καὶ τῶν Πατέρων κλέος, τῆς πίστεως τοὺς πύργους, καὶ τῶν πιστῶν Διδασκάλους καὶ φύλακας, συνελθόντες ὦ φιλέορτοι, ᾀσματικοῖς ἐγκωμίοις, ὑμνήσωμεν λέγοντες. Χαίροις τῆς Ἐκκλησίας φωστὴρ, Ἀθανάσιε σοφὲ, καὶ στῦλε ἀπερίτρεπτε Κύριλλε. Χαίροις, Ἀρχιερεῦ μέγιστε, καὶ τῆς Ὀρθοδοξίας κραταιὲ ὑπέρμαχε · ἀλλ' ὦ Πατέρες τρισόλβιοι, μὴ παύσησθε ἀεὶ πρεσβεύοντες Χριστῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων ὑμῶν, τὴν πανίερον καὶ θείαν πανήγυριν ·

Καὶ νῦν Θεοτοκίον.

Ὁ Ποιητής καὶ Λυτρωτής μου, Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθὼν, ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε · διὸ σοὶ Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε, καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ Χαῖρε τοῦ Ἀγγέλου · Χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἀπόςιχ· ἦχος ·πλ· α.
Χαίροις ἀσκητικῶν ἀληθῶς·

Χαίροις Ἱεραρχῶν ἡ Δυάς, τῆς Ἐκκλησίας τὰ μεγάλα προπύργια, οἱ ςύλοι τῆς εὐσεβείας, ὁ τῶν πιςῶν ἑδρασμὸς, τῶν Αἱρετιζόντων ἡ κατάπτωσις· Χριςοῦ οἱ ποιμάναντες, τὸν λαὸν θείοις δόγμασι, καὶ ταῖς ποικίλαις ἀρεταῖς οἱ ἐκθρέψαντες, οἱ τῆς χάριτος διαπρύσιοι κήρυκες, νόμους οἱ προεκθέμενοι, Χριςοῦ τῷ πληρώματι, οἱ Ὁδηγοὶ πρὸς τὰ ἄνω, τοῦ Παραδείσου αἱ εἴσοδοι, Χριςὸν καταπέμψαι ταῖς ψυχαῖς ἡμῶν αἰτεῖτε τὸ μέγα ἔλεος.

τὸ ςόμα μου λαλήσει σοφίαν·

Χαίροις Ἱεραρχῶν ἡ Δυάς, οὐρανοβάμονες ἐπίγειοι Ἄγγελοι, τοῦ κόσμου ἡ σωτηρία, ἡ τῶν ἀνθρώπων χαρὰ, καὶ τῆς Οἰκουμένης οἱ Διδάσκαλοι· τοῦ Λόγου οἱ πρόμαχοι, Ἰατροὶ ἐπιςήμονες, τῶν νοσημάτων τῆς ψυχῆς καὶ τοῦ σώματος, οἱ ἀείρροοι Ποταμοὶ οἱ τοῦ Πνεύματος, λόγοις οἱ καταρδεύσαντες, τῆς γῆς ἅπαν πρόσωπον, οἱ θεολόγοι, αἱ βάσεις, οἱ ὑψηγόροι οἱ ἔνθεοι, Χριςὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν αἰτεῖτε τὸ μέγα ἔλεος.

οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Χαίροις ἡ Ἱερὰ Ξυνωρὶς, τοῦ ἐπιγείου ςερεώματος Ἥλιος, ἀκτῖνες καὶ δαδουχίαι, ἐκ Τρισηλίου αὐγῆς, τῶν ἐσκοτισμένων ἡ ἀνάβλεψις, τὰ ἄνθη τὰ εὔοσμα, Παραδείσου τὰ κάλλιςα, ὁ Θεολόγος καὶ σοφὸς Ἀθανάσιος, θεῖος Κύριλλος, τὰ Πυξία τοῦ Πνεύματος, Πλάκες αἱ θεοχάρακτοι, Μαζοὶ οἱ ἐκβλύζοντες, τῆς σωτηρίας τὸ γάλα, τὸ τῆς σοφίας ἀγλάϊσμα, Χριςὸν δυσωπεῖτε ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα, ἦχος, πλ: ά

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι, ἐν τῇ πανδήμῳ πανηγύρει τῶν Διδασκάλων ἡμῶν



μῶν. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τοὺς Ἱεράρχας κροτείτωσαν ἐν ὕμνοις, ὡς δογμάτων βλύσαντας, ποταμοὺς ὑπερμεγέθεις, καλλιρρόους ἀειζώους τοῦ Πνεύματος. Ποιμένες καὶ Διδάσκαλοι, τοὺς σεπτοὺς Ἱερομύςας, συνελθόντες εὐφημήσωμεν. οἱ φιλόσοφοι τοὺς σοφοὺς, οἱ Ἱερεῖς τοὺς Ποιμένας, οἱ ἁμαρτωλοὶ τοὺς προςάτας, οἱ πένητες τοὺς πλουτιςὰς, οἱ ἐν θλίψεσι τοὺς παραμυθοῦντας· τοὺς συνοδίτας οἱ ὁδοιπόροι, οἱ ἐν θαλάσσῃ τοὺς κυβερνήτας. οἱ πάντες τοὺς πανταχοῦ θερμῶς προφθάνοντας θείους Ἀρχιεράρχας, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Πανάγιοι Διδάσκαλοι, σπεύσατε ἐξελεῖν τοὺς πιςοὺς, ἐκ τῶν τοῦ βίου σκανδάλων, καὶ ῥῦσαι κολάσεων, τῶν αἰωνίων ἡμᾶς.

Καὶ νῦν· Θεοτοκίον. ὅμοιον.
Γερμανοῦ Πατριάρχου·

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων· προκύψασα γὰρ ἄνωθεν, ἡ Παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταςέφει τοὺς εὐφημοῦντας αὐτήν· Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τέξασαν, τοὺς θανάτῳ κρατουμένους πρὶν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ Διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος ὑπέραγνον Μητέρα, συνελθόντες εὐφημήσωμεν, τὴν Λυχνίαν τὴν χρυσαυγῆ, τὴν φωτοφόρον Νεφέλην, τὴν τῶν Χερουβὶμ ὑπερτέραν, τὴν ἔμψυχόν τε Κιβωτὸν, τὸν πυρίμορφον τοῦ Δεσπότου Θρόνον· τὴν μανναδόχον χρυσέαν Στάμνον, τὴν ζωηφόρον τοῦ Λόγου πλάκα, ἁπάντων Χριςιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις ἐγκωμιάζοντες, οὕτως εἴπωμεν· Παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς, τῆς Οὐρανῶν Βασιλείας· οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου·

Ἀπολυτίκιον ἦχος ά. Νέον.

Τοὺς Ἱεράρχας Κυρίου ὀρθῶν δογμάτων ἐκφάντορας, τῶν Ἀλεξανδρέων ποιμένας, τῆς ἀληθείας τοὺς κήρυκας, πεφιλημένην τῷ Θεῷ Ξυνωρίδα, τοὺς λαμπροὺς φωςῆρας τῶν ἀσεβῶν τὸ σκότος ἀποσβήσαντας,

τας, Ἀθανάσιον τὸν μέγαν τῶν Αἱρετιζόντων τὸ θέριστρον, σὺν τῷ Κυρίλλῳ τῷ πάνυ Θεοτόκον εὐσεβήσαντι. Πάντες οἱ φιλέορτοι δεῦτε φαιδρῶς, συνελθόντες ὕμνοις τιμήσωμεν, καὶ γὰρ ἀκαταπαύστως ὑπὲρ ἡμῶν Θεῷ πρεσβεύουσι.

καὶ Θεοτοκίον. τοῦ Γαβριὴλ φθεγξαμένου.

Νῦν ἀπολύεις. Καὶ ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. στιχολογίαν.

Κάθισμα. ἦχος Γ. Τὴν ὡραιότητα.

Τὴν τῶν αἱρέσεων πλάνην διήλεγξας, καὶ τὴν Ὀρθόδοξον πίστιν ἐκήρυξας, ὡς θηγόρος εὐσεβῶς, ἐτράνωσας Ἱεράρχα, τρεῖς τὰς ὑποστάσεις μὲν, ἐν μονάδι Θεότητος, φύσει ὁμοούσιον, καὶ προσώποις ἀσύγχυτον. διὸ καὶ συνελθόντες ἐν πίστει, Ἀθανάσιε Πάτερ τελοῦμεν τὴν μνήμην σου.

Θεοτοκίον.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς, ἐβόα σοι Θεοτόκε. ποῖον σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τὶ δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι. διὸ ὡς προσετάγην βοῶ σοι· χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὴν β'. στιχολογίαν, Κάθισμα ἦχος ά.

Τὸν τάφον σου Σωτήρ.

Τριάδος τῆς σεπτῆς, Ἀθανάσιον ὕμνοις, καὶ Κύριλλον ὁμοῦ, ἐπαινέσωμεν πάντες, τοὺς θείους θεράποντας, καὶ προμάχους τῆς πίστεως, τοὺς τοῖς βάθεσι, τῶν εὐσεβῶν νοημάτων, στρατὸν ἔκφρονα, αἱρετικῶν ἀπειθούντων, ἀξίως βυθίσαντας.

Θεοτοκίον.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων.





σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία καὶ βοήθεια καὶ κραταιὰ προστασία, καὶ σῴζεις τοὺς δούλους σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμ. ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Τοῖς θείοις χαρίσμασιν, ἀγλαϊζόμενοι, Πατέρες θεόσοφοι, πόλιν Ἀλεξανδρέων, Οἰκουμένην τε πᾶσαν, δόγμασιν ὑμῶν θείοις, καὶ συγγράμμασι δόξαν, τὴν τῆς σεπτῆς Τριάδος, ὥσπερ σάλπιγγες θεῖαι, ὀρθοδόξως κηρύττετε.

Θεοτοκίον.

Ταχὺ δέξαι Δέσποινα, τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία πανάμωμε, λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων, σύντριψον μηχανίας, καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἀθέων, Πάναγνε κατὰ τῶν δούλων σου.

οἱ Ἀναβαθμ. τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἤχου.

Προκείμενον ἦχος δ'.

οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδ.

Πᾶσα πνοή. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν.

ὁ Ν'. Δόξα. Ταῖς τῶν Διδασκάλων πρεσβείαις ἐλεῆμον.

Καὶ νῦν ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεός. τὸ Ἰδιόμελον ἦχος πλ. β'.

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσιν ὑμῶν, Ὅσιοι Πατέρες, καὶ γεγόνατε Ποιμένες τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκοντες τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα Ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Ὁ Κανὼν τῆς Θεοτόκου, μετὰ τῶν εἱρμῶν εἰς δʹ: καὶ τῶν ἁγίων εἰς ηʹ:

Ὁ Τῆς Θεοτόκου:

ᾠδὴ αʹ: ἦχος πλ: δʹ: ὁ εἱρμός.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτὲ, Μωσαϊκὴ ῥάβδος, σαυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Τροπάριον.

Δεδοξασμένα περὶ σοῦ λελάληνται, δεδοξασμένη Ἁγνὴ, ἡ τῶν πιςῶν δόξα, μόνη χρηματίσασα. διὸ μελούσης δόξης με, κοινωνὸν σαῖς πρεσβείαις, δοξάζοντά σε ἀνάδειξον, Ἄχραντε Πανάμωμε Δέσποινα.

Εὐλογημένος ὁ καρπὸς Πανάμωμε, ὁ τῆς κοιλίας σου, δι' οὗ βροτοὶ πάντες, τῆς ἀρᾶς ἐλύθημεν, εὐλογημένη Πάναγνε, ἀνερμήνευτον θαῦμα, ἀκατανόητον ὅραμα, πάντων τῶν βροτῶν τὸ διάσωσμα·

Ἡ τῶν Ἀγγέλων δυσωπεῖ σε Κύριε, πληθὺς ἑκάςοτε, τῶν Μαθητῶν δῆμος, Προφητῶν ὁ σύλλογος, Μαρτύρων, καὶ Ὁσίων σου, διὰ τῆς Θεοτόκου, ἁμαρτημάτων συγχώρησιν, δώρησαι ἡμῖν ὡς φιλάνθρωπος.

ὁ τοῦ Ἁγίου Ἀθανασίου.

Θεοφάνους. οὗ ἡ ἀκροςιχίς, ἄνευ τῶν Θεοτοκίων.

Ἀθανάσιος εὖχος Ὀρθοδοξίας ἔφυ.

ᾠδὴ αʹ: ἦχος πλ: δʹ: Ἁρματηλάτην φαραώ.

Ἀθανασίῳ προσκομίζων ἔπαινον, ὡς ἀρετὴν εὐφημῶν, πρὸς τὸν Θεὸν φέρω, μᾶλλον τὸ ἐγκώμιον, παρ' οὗ τοῖς βροτοῖς δέδοται, ἀξιέπαινον χρῆμα, τῆς ἀρετῆς ἧς περ γέγονεν, ἔμψυχος εἰκὼν καὶ ἐκμάγειον.

Θεοσοφίας χρηματίσας ἔμπλεως, καὶ ὑπὲρ Ἥλιον, βίῳ ἀπαςράπτων καὶ πολιτευσάμενος, Ὅσιε ὑπερβέβηκας, ἐγκωμίων τοὺς νόμους

τοὺς



τοὺς παρ' ἡμῶν· ἀλλ' ἀνάσχοιο, Πάτερ παρ' ἀξίαν ὑμνούμενος.

Ἀξιοχρέως μὲν ᾠδὴν ὑφαίνομεν, σοῦ μνήμῃ τῇ εὐκλεεῖ, ἀλλὰ ἀποροῦντες, πλείςων Ἀθανάσιε, τῶν κατ' ἀξίαν ὕμνων σου, ἐξαιτοῦμεν συγγνώμην, ἡμῖν δοθῆναι καὶ ἄφθονον, χάριν διὰ σοῦ τὴν τοῦ Πνεύματος.

Θεοτοκίον.

Δεδοξασμένα περὶ σοῦ λελάληνται, ἐν γενεαῖς γενεῶν, ἡ τὸν Θεὸν Λόγον, ἐν Γαςρὶ χωρήσασα, Ἁγνὴ δὲ διαμείνασα, Θεοτόκε Μαρία. διὸ σε πάντες γεραίρομεν, τὴν μετὰ Θεὸν προςασίαν ἡμῶν.

Ἕτερος Κανὼν τοῦ Ἁγίου Κυρίλλου.

οὗ ἡ ἀκροςιχὶς, ἄνευ τῶν Θεοτοκίων.

Θεωριῶν Κύριλλος ἐνθέων λύρα.

Ὠδὴ αʹ. ἦχος δʹ. Θαλάσσης·

Θεόθεν τὴν φωτοδότιν Κύριλλε, χάριν δεξάμενος, καὶ τηλαυγὴς φωςὴρ ἀναδειχθεὶς, λογικὰς ἐξαςράψαις ἡμῖν, μαρμαρυγὰς τὴν μνήμην σου, ὅπως ἀξίως ἀνυμνήσωμεν.

Ἐπλήσθης τῆς δᾳδουχίας Κύριλλε, σοφὲ τοῦ Πνεύματος, τῶν ἐντολῶν ὡς φύλαξ τοῦ Χριςοῦ, τῶν παθῶν καθηράμενος, τῆς ὑπερθέου γέγονας, ὄντως Τριάδος ἐνδιαίτημα.

Ὡς ζήλου, καὶ παῤῥησίας ἔμπλεως, Κύριλλε ἔνδοξε, τὰς θεομάχους πάσας ἀψευδῶς, γλωσσαλγίας διήλεγξας, τῶν δυσσεβῶν αἱρέσεων, ὀρθοδοξίας προϊςάμενος·

Θεοτοκίον.

Πατήσας τὴν ἐντολὴν τοῦ κτίσαντος τρυφῆς ἐκβέβληται, δελεασθεὶς ὁ πρῶτος ἐν βροτοῖς· ἀλλὰ τοῦτον πεσόντα δεινῶς, τὸν Λυτρωτὴν κυήσασα, ἀνεκαλέσω Μητροπάρθενε.

Καταβασ. Χέρσον ἀβυσσοτόκον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠ

Ὠδὴ γ'. ὁ Εἱρμός·

Ο ὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ σύ με ςερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιςῶν τὸ ςήριγμα, μόνε φιλάνθρωπε.

Τροπάριον.

Ιερᾶς πολιτείας, ἀποπεσὼν Ἄχραντε, παρασυνεβλήθην, τοῖς κτήνεσι καὶ κατάκριτος, ὅλος γεγένημαι. ἡ τὸν κριτὴν τετοκυῖα πάσης κατακρίσεως ῥῦσαι καὶ σῶσόν με.

Στεναγμοὺς ἀνενδότους, καὶ ψυχικὸν δάκρυον, καὶ διηνεκῆ μοι παράσχου κόρη κατάνυξιν, ὅπως πενθήσω μου, τὰ συμφυέντα μοι πάθη, ἐξ ἀπροσεξίας μου Θεοχαρίτωτε.

Συμπαθείας με θείας, ὡς συμπαθὴς Ἄχραντε, νῦν καταξιῶσαι, δυσώπει τὸν εὐσυμπάθητον. τρόπους ἀσπλάγχνους γὰρ, ἀσυμπαθεῖς κεκτημένον, μετανοίας τρόποις με νῦν ἀνακάλεσαι·

Ἄλλος· ὁ ςερεώσας·

Ανακαθάρας μολυσμοῦ, παντὸς ψυχήν τε καὶ σῶμα, Ἀθανάσιε ναὸς ἀνεδείχθης, ἀξιόθεος διό, τὸ τῆς Τριάδος πλήρωμα, ἐπανεπαύσατό σοι Ἱερομύςα πανόλβιε.

Σοῦ ὡς ἐπόθει τὴν ψυχὴν, τοῦ παρακλήτου ἡ χάρις, ἐκ παθῶν κεκαθαρμένην εὑροῦσα, διαδήλους ἐν αὐτῇ τὰς ἐνεργείας δείκνυσι, καὶ τηλαυγῆ φωςῆρα, Πάτερ τῷ κόσμῳ σε τίθησιν·

Ιεραρχίας μὲν κανών, ὡς Ἱεράρχης ἐδείχθης, πρακτικῆς ὑπογραμμὸς δὲ ὁ βίος, ὁ δὲ λόγος σου σοφὲ, τῆς θεωρίας τύπος τρανῶς, θεολογία δέ σου ὄντως ἡ δίδαξις πέφηνε.

Θεοτοκίον.

Τῶν Χερουβὶμ καὶ Σεραφὶμ, ἐδείχθης ὑψηλοτέρα, Θεοτόκε σὺ γὰρ μόνη

μόνη ἐδέξω, τὸν ἀχώρητον Θεὸν, ἐν σῇ γαςρὶ ἀμόλυντε· διὸ πιςοί σε πάντες, ὕμνοις ἁγνὴ μακαρίζομεν.

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Ρωννύμενος ἐν Χριςῷ. τὰς μηχανὰς τοῦ σκολιοῦ δράκοντος, γνώμῃ ςεῤῥᾷ Κύριλλε, ὡς ἱςὸν ἀράχνης διέλυσας.

Ιλὺν παθῶν ἐκ ψυχῆς, ἐξετινάξω καθελὼν Κύριλλε, πᾶν λογισμῶν ὕψωμα, κατὰ τοῦ Χριςοῦ ἐπαιρόμενον·

Ως εὔςοχος ἀθλητὴς, Πάτερ ἐξέκλινας ςεῤῥῶς ἅπασαν, τὴν τῆς σαρκὸς εὐπάθειαν, ὡς ἐπιβλαβῆ καὶ ἐπίβουλον·

Θεοτοκίον.

Ο Ἄγγελος Γαβριὴλ, τὴν ὑπὲρ λόγον σου χαρὰν ἔφησε· χαῖρε Θεοῦ σκήνωμα, ὃ κατασκηνῶσαι ηὐδόκησεν.

Καταβασ. Τὸ ςερέωμα.

Κοντάκιον τοῦ Ἁγίου Ἀθανασίου. ἦχος β'.

Τοῖς τῶν αἱμάτων σου.

Ορθοδοξίας φυτεύσας τὰ δόγματα, κακοδοξίας ἀκάνθας ἐξέτεμες, πληθύνας τὸν σπόρον τῆς πίςεως, τῇ ἐπομβρίᾳ τοῦ Πνεύματος Ὅσιε· διό σε ὑμνοῦμεν Ἀθανάσιε.

Κάθισμα ἦχος γ'. Θείας πίςεως.

Θείοις δόγμασι τὴν Ἐκκλησίαν, Πάτερ ὥπλισας Ὀρθοδοξίας, ταῖς διδαχαῖς σου τὰς αἱρέσεις ἐξέτεμες, τῆς εὐσεβείας τὸν δρόμον τετέλεκας, καὶ σὺν τῷ Παύλῳ τὴν πίςιν τετήρηκας. λοιπὸν πεπλήρωται, ὁ πόθος ὁ σὸς ἀοίδιμε, καὶ κλῆρον ἀγαθὸν, κομίζῃ τῶν πόνων σου.

Δόξα ὅμοιον.

Θεῖον ἕδρασμα τῆς Ἐκκλησίας, Πάτερ Κύριλλε σὺ ἀνεδείχθης· τὴν



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

δωδεκάδα τοῦ Λόγου προέβαλες, τὴν Νεϛορίου κακόνοιαν ἤλεγξας· καὶ Θεοτόκον κυρίως ἐτράνωσας. Ῥητόρων ἔξαρχε, Χριϛὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. ὅμοιον·

Θρόνος πάγχρυσος τοῦ Βασιλέως, καὶ Παράδεισος διηνθισμένος, ἀνεδείχθης Θεοτόκε πανάχραντε· τὸν γὰρ Θεὸν ἐν γαϛρί σου βαϛάσασα, εὐωδιάζεις ἡμᾶς θείαις χάρισιν. ὅθεν ἅπαντες Θεοῦ ἀληθῶς Μητέρα σε, κηρύττομεν ἀεὶ καὶ μεγαλύνομεν.

ᾨδὴ δ' ὁ Εἱρμός:

Σύ μου ἰσχὺς Κύριος, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικοὺς κόλπους μὴ λιπὼν, καὶ τὴν ἡμετέραν, πτωχείαν ἐπισκεψάμενος. διὸ σὺν τῷ Προφήτῃ, Ἀββακοὺμ σοι κραυγάζω. τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Τροπάριον:

Τὸ πονηρὸν, ἁμαρτιῶν μου χειρόγραφον Θείᾳ λόγχῃ, Πάναγνε διάῤῥηξον, τῇ κεντησάσῃ Θείαν Πλευρὰν, τοῦ ἐνανθρωπῆσαι, ἐκ σοῦ Παρθένε θελήσαντος, καὶ βίβλῳ με γραφῆναι, σωζομένων δυσώπει, τὸν ἀφρόνως Θεοῦ μακρυνόμενον.

Ἵνα φωναῖς, χαριϛηρίοις δοξάζω σε, ἵνα Θείῳ, πόθῳ μεγαλύνω σε, τὴν τῷ μεγίϛῳ σου τοκετῷ, πάντας σμικρυνθέντας, Πανάμωμε μεγαλύνασαν, μεγάλως ἁμαρτῶντα, καὶ δεινῶς συμπτωθέντα, συγχωρήσεως Κόρη ἀξίωσον.

Νόμοι ἐν σοὶ, κεκαινοτόμηνται φύσεως· ὑπὲρ φύσιν, Λόγον γὰρ ἐκύησας· διό σε πίϛει ἐκδυσωπῶ, τὸν ὑπὲρ τὴν φύσιν τὴν ἀνθρωπίνην Πανάμωμε, πολλὰ ἡμαρτηκότα, καὶ Θεοῦ μακρυνθέντα, ἐπιϛρέψαντα σῶσον πρεσβείαις σου.

Ὁ αὐτός·



Ὁ αὐτός·

Ὅλη ἐν σοὶ, ἔπνευσεν ἡ ζωηφόρος πνοὴ, ἡ ἐξ ὕψους, νῦν ἐπιφοιτήσασα, θεοπρεπῶς, Πνεύματος Χριϛοῦ, ἐν τῷ ὑπερῴῳ, καὶ μαθητὰς ἐμφορήσασα, Ἀπόϛολον δεικνύει, τρισκαιδέκατον Πάτερ, τὴν ὀρθόδοξον πίϛιν κηρύττοντα.

Σὺ Θεϊκῷ, ζήλῳ σφοδρῶς πυρπολούμενος, τῇ Συνόδῳ, συναγωνιζόμενος, καὶ πρὸ τοῦ σὲ, Πρόεδρον τελεῖν, ἐν τῇ Νικαέων, κηρύττεις τὸ Ὁμοούσιον· διὸ τῆς Ἐκκλησίας, ὁ Χριϛὸς Ποιμενάρχην, καὶ διδάσκαλον σὲ προχειρίζεται.

Ἐγχειρισθεὶς τῆς Ἐκκλησίας τοὺς οἴακας, ἐκ προνοίας, θείας Ἀθανάσιε, Αἱρετικῶν τὰς ψυχοβλαβεῖς, πάσας γλωσσαλγίας, οἷά τις πέλυξ ἐξέτεμες, προῤῥίζους ὡς ἀκάνθας, καὶ τὸν σπόρον τοῦ Λόγου, ἐπαρδεύων σοφῶς ἐγεώργησας.

Θεοτοκίον.

Σὺ τῶν πιϛῶν, καύχημα πέλεις ἀνύμφευτε, σὺ προϛάτις, σὺ καὶ καταφύγιον, Χριϛιανῶν, τεῖχος καὶ λιμήν: πρὸς γὰρ τὸν Υἱόν σου, ἐντεύξεις φέρεις Πανάμωμε· καὶ σώζεις ἐκ κινδύνων, τοὺς ἐν πίϛει καὶ πόθῳ, Θεοτόκον Ἁγνὴν σε γινώσκοντας.

Ἄλλος: Ἐπαρθέντα σε ἰδοῦσα.

Νενικηκότα τὰ πάθη τὰ ψυχοφθόρα, καὶ λογισμῷ κρατήσαντα, σαρκὸς Θεοφόρε, Κύριλλε ἰδὼν ὁ Χριϛὸς, τῆς θείας σε Πρόεδρον, Πάτερ Ἐκκλησίας καθίϛησι.

Κληρονομήσας ὡς γόνος ἠγαπημένος, τὴν πατρικὴν τοῦ Μάρκου, ἀρετὴν καὶ τοῦ Θρόνου, γέγονας διάδοχος, τοῦ Θείου τοῖς ἴχνεσιν, Εὐαγγελιϛοῦ παρεπόμενος.

Ὑπὸ

Υπὸ Χριςοῦ μὲν ὡς πρόβατον ἐποιμάνθης· ὡς δὲ ποιμὴν ἐποίμανας, τὸ Ποίμνιον Πάτερ, λόγοις ψυχοτρόφοις σου, ὡς πόαις καὶ ἄνθεσι, δαψιλῶς ἐκτρέφων τῆς χάριτος·

Θεοτοκίον.

Νεμομένην τοῦ θανάτου τὴν τυραννίδα, Μήτηρ Θεοῦ κατέπαυσας, ζωὴν τὴν ἀγήρω, Πάναγνε κυήσασα· διό σοι κραυγάζομεν, χαῖρε Θεοτόκε πανύμνητε.

Καταβασ. Ἐκάλυψεν Οὐρανούς·

Ὠδὴ ε. ὁ Εἱρμός·

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον; καὶ ἐκάλυψέ με τὸ ἀλλότριον σκότος τὸν δείλαιον, ἀλλ' ἐπίςρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Τροπάριον·

Γενεαὶ γενεῶν σε, τὴν Ἀειμακάριςον νῦν μακαρίζουσιν: Οὐρανῶν Δυνάμεις, ὡς τὰ κάτω τοῖς ἄνω συνάψασαν, εὐφημοῦσι μόνη, ἐν γυναιξὶν εὐλογημένη, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις.

Διαμένειν με σῶον, μὴ περιτρεπόμενον ςάσεως κρείττονος; ἀλλ' εὐθυποροῦντα, καὶ Θεῷ τὰ εὐάρεςα πράττοντα, ἐνδυνάμωσόν με, τὸν ἀγαθὸν τεκοῦσα Λύγον, τὸν ἡμᾶς ἀλογίας ῥυσάμενον.

Ὁ τὸ αἷμα σου Λόγε, διὰ ὑπερβάλλουσαν ἐλέους ἄβυσσον, ἐν Σταυρῷ κενώσας, τῶν παθῶν μου τὴν ἄβυσσον ξήρανον, καὶ ἐν κατανύξει, σοὶ τῷ Θεῷ εὐαρεςῆσαι, διὰ τῆς Θεοτόκου ἀξίωσον·

Ὁ αὐτός.

Χριςὸν ἔχων λαλοῦντα, ἐν ὀργάνῳ εὐήχῳ τῆς γλώττης σου, ἐςηλύτευσας



τευσας μὲν, τῶν εἰδώλων ἐγγράφως τὴν αἵρεσιν, τοὺς πεπλανημένους, ἐποδηγῶν καὶ ἐπιςρέφων, πρὸς τὸν ὄντως Θεὸν Ἀθανάσιε.

Ὀλεθρίους αἱρέσεις, Πάτερ ἐθριάμβευσας λόγους καὶ γράμμασι, τὴν ποικίλην πλάνην, ἐξορίζων σοφαῖς ἀποδείξεσιν, ἐκ τῆς Οἰκουμένης, διατρανῶν ἀναντιῤῥήτως, τὴν Ὀρθόδοξον Πίςιν μακάριε.

Σὲ τὸν διδάσκαλον ὄντως; μέγαν Διδασκάλων σοφὲ Ἀθανάσιε, ἀκομψεύτῳ φράσει, μετὰ τοὺς Ἀποςόλους εὐμοίρησεν, Ἐκκλησία Πάτερ, ἡ τοῦ Χριςοῦ διασαφοῦντα, τὸν ἀμώμητον λόγον τῆς Πίςεως·

Θεοτοκίον.

Μητρικὴν παῤῥησίαν, τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη Πάναγνε, συγγενοῦς προνοίας, τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα. ὅτι σὲ καὶ μόνην, Χριςιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Ῥεῦμα ὄντως σφοδρὸν, πλημμυροῦντος χειμάῤῥου ὁ σὸς, ὦ Κύριλλε ἐκμιμεῖται, λόγος τῶν κακοδόξων, ἐκτρέπων μηχανήματα.

Ἴσως τὴν βδελυρὰν; τοῦ Ἀρείου διαίρεσιν, ὦ Κύριλλε μιαράν τε, Σαβελλίου ἐκ βάθρων, συναλοιφὴν καθῄρηκας.

Λόγους πλουτοποιούς, οὐ χρυσὸν καταλέλοιπας, ὦ Κύριλλε θησαυρούς τε, ὥσπερ λίθους τιμίους, τοὺς σοὺς τῇ Ἐκκλησίᾳ Χριςοῦ:

Θεοτοκίον.

Ὄντως ὁ χαρακτὴρ, τῆς ἁγίας μορφῆς σου σεμνὴ, τοὺς δαίμονας φυγαδεύει. τοὺς πιςοὺς δ' ἁγιάζει, καὶ σώζει τὰς ψυχὰς ἡμῶν.

Καταβασία. ὡς εἶδεν Ἡσαΐας.

ᾨδὴ ς'. ὁ Εἱρμός.

Ἱλάσθητί μοι Σωτήρ. πολλαὶ γὰρ αἱ ἀνομίαι μου· καὶ ἐκ βυθοῦ τῶν κακῶν

κακῶν, ἀνάγαγε δέομαι. πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Τροπάριον.

Ηλέηται διὰ σοῦ, ἡ φύσις τῆς ἀνθρωπότητος· τὸν ἐλεήμονα γὰρ, ἐκύησας Κύριον, Ἐλεῆμον Πάναγνε· ὅθεν δυσωπῶσε, τὴν ἐμὴν ψυχὴν ἐλέησον.

Η Ἀγεώργητος Γῆ, τὸν Γεωργὸν ἡ κυήσασα, καὶ πάντων Δημιουργὸν, τὴν ὑλομανήσασαν, ψυχήν μου τοῖς πάθεσι, δεῖξον καρποφόρον, διὰ θείας ἐπιγνώσεως.

Παρέβην τὰς ἐντολὰς, τὰς πρὸς Θεὸν ὁδηγούσας με, καὶ θέλων τοῖς πονηροῖς, δεδούλωμαι πάθεσι, διὸ ἱκετεύω σε, τῆς αὐτῶν με ῥῦσαι δεσποτείας Ἀειπάρθενε.

Ὁ αὐτός.

Ο θνείου σπόρου σπορεὺς, φανεὶς ὁ Ἀπολλινάριος, βροτείου λόγου καινοῦ, Χριστοῦ τὸ ἀνθρώπινον, στεῤῥῶς ἐξελήλεγκται, ὑπὸ σοῦ Παμμάκαρ, ὥσπερ ἄνους καὶ φρενόληπτος.

Ρευμάτων τῶν λογικῶν, χυθέντων διὰ χειλέων σου, ἐξ ἀεννάου πηγῆς, τῆς χάριτος Ὅσιε, γλυκύτερα μέλιτος, ὡς ἐκ κρήνης ῥεῖθρα, οἱ πιστοὶ ἀπαρυόμεθα.

Θαυμάσειέ τις τοῖς σοῖς, εἰκότως Πάτερ συγγράμμασι, σοφῶς ἐμφιλοχωρῶν, μελλούσας φυήσεσθαι, αἱρέσεις θεώμενος, προανατραπείσας, ὑπὸ σοῦ προφητικώτατα.

Θεοτοκίον.

Ρυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, Θεογεννῆτορ Ἁγνὴ, καὶ τύχοιμεν Πάναγνε, τῆς Θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Ἄλλος



Ἄλλος. Θύσω σοι μετὰ φωνῆς.

Δαβίδ, Σεραφὶμ τῷ Προφήτῃ τὸν ἄνθρακα, τῇ Ἐκκλησίᾳ Χριστοῦ δὲ, ταῖς χερσὶ προσνέμεις ἱερομύστα, τὸ ἐκ θείου πυρὸς ἠνθρακωμένον καθάρσιον.

Ομβρους, ὡς Σαμψὼν ἀλλοφύλους οὐκ ἔθραυσας, τὰ δὲ ἀλλόκοτα πάντα, τῶν ἑτεροδόξων διδάγματα, καὶ τὸ κράτος, τοῖς ὀρθοδόξοις δέδωκας Κύριλλε.

Συνόδου, θεολέκτου σαφῶς προηγούμενος, τὸ δυσμενὲς Νεστορίου, χριστομάχον θράσος Πάτερ καθεῖλες, ζῆλου πνέων, ὑπὲρ τῆς ἀληθοῦς Θεομήτορος.

Θεοτοκίον.

Φωτίζεις, τῷ τοκετῷ σου πάντα τὰ πέρατα, Θεογεννῆτορ Παρθένε. σὺ γὰρ μόνη ὤφθης κεκαθαρμένη, ἀπ' αἰῶνος, δικαιοσύνης Ἥλιον ἔχουσα.

Καταβασ: Ἐβόησέσοι.

Κοντάκιον, ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ιεράρχαι μέγιστοι τῆς εὐσεβείας, καὶ γενναῖοι πρόμαχοι, τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, πάντας φρουρεῖτε τοὺς μέλποντας. σῶσον οἰκτίρμων, τοὺς πίστει τιμῶντάς σε.

ὁ Οἶκος.

Ακαταλήπτῳ σου χειρὶ, καὶ σθένει ἀποῤῥήτῳ, τὴν σὴν νῦν Ἐκκλησίαν οὐρανώσας Οἰκτίρμων, ἔδειξας ὄντως φαεινοὺς τοὺς δύω φωστῆρας, μεγίστους τε καὶ τερπνοὺς, τὸν Κόσμον καταυγάζοντας, σὺν Ἀθανασίῳ τῷ πανσόφῳ, Κύριλλον τὸν Θεῖον. ταῖς αὐτῶν οὖν ἱκεσίαις, αἱρέσεων ἐξάρας τὴν νύκτα, ἐχθρῶν πᾶσαν ἀχλὺν διάλυσον Σῶτερ, καὶ φωτὶ τῷ φρικτῷ, τῶν πιστῶν τὰ πλήθη καταύγασον, πρὸς τὸ κράζειν καὶ βοᾷν σοι. Σῶσον οἰκτίρμων, τοὺς πίστει τιμῶντάς σε.

Τῷ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΝΝΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Τῷ αὐτῷ Μηνὶ, ΙΗ. Μνήμη τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν Ἀθανασίου, καὶ Κυρίλλου, Πατριαρχῶν Ἀλεξανδρείας.

Ἀθανάσιον καὶ θανόντα ζῆν λέγω·
Οἱ γὰρ δίκαιοι, ζῶσι καὶ τεθνηκότες.
Σιγῆς Κυρίλλου σήμερον μνήμην ἄγει,
Ἀλλ' οὐ τελευτῆς τῆς ἀειμνήςου Κτίσις.
Τάρχυσαν ὀγδοάτῃ νέκυν Ἀθανασίου δεκάτῃ·

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαρκιανοῦ.

Χοῦς Μαρκιανὲ τυγχάνων εἰς χοῦν λύῃ.
Τὸ δόγμα τοῦ πλάσαντος οὐκ ἔχων λύσιν.

Τῇ αὐτῇ ἡμέρᾳ, τῆς Ἁγίας Μάρτυρος Θεοδούλης.

Τὴν Θεοδούλην ἐκ ξίφους τεθνηκέναι,
Δοῦλοι Θεῶν κρίνουσι τῶν ψευδωνύμων.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία Μάρτυς Ξένη πυρὶ τελειοῦται.

Ὁ Χριςὸς ἦλθε πῦρ βαλεῖν εἰς γῆν πάλαι.
Ξένη τρέχουσα καρτερεῖ τὸ πῦρ ξένως.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς...

**Θ** εοῦ συγκατάβασιν, τὸ πῦρ ᾐδέσθη ἐν Βαβυλῶνι ποτέ. διὰ τοῦτο οἱ παῖδες ἐν τῇ καμίνῳ, ἀγαλλομένῳ ποδὶ, ὡς ἐν λειμῶνι χορεύοντες ἔψαλλον· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τροπάριον.

**Α** ῤῥήτῳ κυήσει σου, φρικτῶν ἀῤῥήτων ἡμᾶς ἠξίωσας, Θεοτόκε πραγμάτων. διὸ φρικτῆς με ῥῦσαι κολάσεως, καὶ τῆς ἀῤῥήτου χαρᾶς καταξίωσον, ἵνα ὑμνῶ σε ἀεὶ τὴν πολυΰμνητον.

**Ρ** αθύμως τὸν βίον μου, ἐκδαπανήσας, ἄκαρπος ἔμεινα, καὶ πτοοῦμαι τὴν δίκην, καὶ τῆς γεέννης τὸ πῦρ τὸ ἄσβεςον. ἡ πῦρ τεκοῦσα, Παρθένε τὸ ἄσεκτον, πρόςηθι ῥῦσαί με πυρὸς τῇ μεσιτείᾳ σου.

Θαυμά-

**Θ** αυμάτων ἐπέκεινα, τὸ μέγα θαῦμα τῆς σῆς κυήσεως. διὰ τοῦτο βοῶ σοι· Ἁγνὴ Παρθένε Θεογεννήτρια, τὰ σὰ ἐλέη ἐπ' ἐμοὶ θαυμάςωσον καὶ τῆς μελλούσης ὀργῆς ῥῦσαι καὶ σῶσόν με.

Ὁ αὐτός.

**Ο** μότιμον. σύνθρονον, Πατρὶ τὸν Λόγον μονογενῆ τε Υἱὸν, ὀρθοδόξως κηρύξας, ἀθανασίας Πάτερ ἐπώνυμε. αὖθις διδάσκεις, τὸ Πνεῦμα Γεννήτορι, καὶ τῷ Υἱῷ συμφυὲς καὶ ὁμοούσιον.

**Δ** ιδάσκαλον κήρυκα, Ἱεροφάντην τοῦ τρισηλίου φωτὸς, διαγγέλοντα πᾶσιν, ὀρθοδοξίαν μέχρι τερμάτων τῆς γῆς, τῆς ἀσεβείας ὁρῶν ὁ Γεννήτωρ σε, τοὺς πειρασμοὺς κατὰ σοῦ ἐπανετείνετο.

**Ξ** ενίζοντα δόγματα, ἀλλότριά τε τῆς Ἐκκλησίας Χριςοῦ ἐξώρισας, Τριάδα ἐθεολόγησας, ὑποςάσεων, Θεότητος δὲ μονάδα ἤ ἔψαλλες· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

**Μ** αρίαν τὴν Ἄχραντον, καὶ Παναγίαν ἀνευφημήσωμεν· διὰ ταύτης γὰρ χάρις, ἡμῖν πηγάζει τῶν ὑπὲρ νοῦν δωρεῶν, ὡς ἐκ χειμάῤῥου τῆς θείας χρηςότητος· ἣν εὐσεβεῖ λογισμῷ νῦν μακαρίζομεν.

Ἄλλος. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι·

**Ε** ν τῷ Σιναίῳ, ἀκρωτηρίῳ πάλαι γνόφον εἰςδὺς, Νόμον εἷλε μάκαρ Κύριλλε ὁ Μωσῆς, ἀναιροῦντα τὸν τοῦ γράμματος· σὺ δὲ ἀνέπτυξας, τὸ κεκρυμμένον κάλλος τοῦ Πνεύματος.

**Θ** εοκηρύκων, καὶ Θεολήπτων τὰ δυσέφικτα, τεύχη Προφητῶν τῇ χάριτι ἐμπνευσθεὶς, τοῦ ἐκείνους ἐμφορήσαντος, Πνεύματος Κύριλλε εἰλικρινῶς ἡμῖν διεσάφησας.



Ἐν

Ἐν ἀσυγχύτῳ, ἑνώσει θείᾳ καὶ ἀτμήτῳ σαφῶς, Πάτερ διαιρέσει τρεῖς μὲν θεολογῶν, ὑποςάσεις ἔφης Κύριλλε, ἀπαραλλάκτους δὲ, ἐν οὐσίᾳ μιᾷ καὶ Θεότητι.

Θεοτοκίον.

Ὑψηλοτέρα, τῶν Ἀγγέλων πάντων ὑπάρχεις σεμνή· σὺ γὰρ τὸν προανάρχως γεννηθέντα ἐκ Πατρὸς, ἐν χρόνῳ ἡμῖν τέτοκας. διὸ τοῦτον δυσώπησον, τῶν δυσσεβῶν αἱρέσεων τοὺς Ὀρθοδόξους ἀπαλλάξαι·

Καταβασία. Σὲ τὸν ἐν πυρί.

ᾠδὴ η'. ὁ Εἱρμός.

Ἑπταπλασίως κάμινον, τῶν χαλδαίων ὁ Τύραννος, τοῖς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε. δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδὼν, τὸν Δημιουργὸν καὶ Λυτρωτὴν ἀνεβόα· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τροπάριον.

Νενεκρωμένην ζώωσον, συμπτωθεῖσαν ἀνάςησον, τετραυματισμένην τὴν ψυχήν μου ἴασαι, τὸν νοῦν μου εἰρήνευσον, τῶν πειρασμῶν τὰ κύματα, πράϋνον Παρθένε, καὶ βοῶντά σοι σῶσον οἱ Παῖδες εὐλογεῖτε; Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε Χριςὸν εἰς τοὺς αἰῶνας·

Ὡς ὁ Λῃςὴς κραυγάζω σοι, μνήσθητί μου Φιλάνθρωπε, κλαίω ὡς ἡ Πόρνη, καὶ βοῶ σοι ἥμαρτον, ὡς πάλαι ὁ Ἄσωτος, μετανοοῦντα δέξαι με, τὸν ἀπεγνωσμένον, διὰ τῆς Θεοτόκου, προθύμως ἵνα μέλπω· Ἱερεῖς εὐλογεῖτε, Λαὸς ὑπερυψοῦτε Χριςὸν εἰς τοὺς αἰῶνας.

Ἱκετικῶς βοῶμέν σοι, Θεοτόκε Πανύμνητε μετὰ τῶν ἀπείρων, νοερῶν Δυνάμεων, Μαρτύρων Ὁσίων τε, καὶ Ἀποςόλων καὶ Προφητῶν, ποίησον πρεσβείαν, ὑπὲρ πάντων τῶν πίςει, ἐνθέως μελῳδούντων Ἱερεῖς εὐλογεῖτε, Λαὸς ὑπερυψοῦτε, Χριςὸν εἰς τοὺς αἰῶνας.

Ταῖς



Ὁ αὐτός.

Ἱεραρχῶν ἀγλάϊσμα, εὐκλεὴς Ἀθανάσιε, Στῦλε τοῦ φωτὸς, τῆς Ἐκκλησίας ἔρεισμα, Τριάδος ὑπέρμαχε, Θεολογίας Σάλπιγξ χρυσῆ, βίου τε μονήρους, ἀκριβὴς νομογράφε, ἡμῖν συνεορτάζεις, Ἱερεῖς καταρτίζων, λαοὺς πιςοὺς προσάγων, Χριςῷ εἰς τοὺς αἰῶνας.

Ἀθανασίας γέγονας, σὺ τῷ ὄντι φερώνυμος· τοὺς γὰρ πρακτικοὺς τῷ λόγῳ ὑπερήλασας· δοκίμους ἐν λόγῳ δὲ, δι' ἀκριβείας βίου νικῶν τοὺς ἐν ἀμφοτέροις, ὑπερβέβηκας ἄκρους, διὸ ἀνυπερβλήτῳ ἀρετῇ διαλάμψας, ἀθάνατον ἐκτήσω, τὴν μνήμην εἰς αἰῶνας.

Σὺ λαμπροτέραν ἔδειξας, Μυςηπόλε Θεόληπτε, τὴν Ἱεραρχίαν, τοῖς γενναίοις ἄθλοις σου· τὴν πλάνην ἐξώρισας, ταῖς σαῖς ὑπερσοφίαις πυκνῶς, ὑπὲρ τῆς Τριάδος, ἣν κηρύττων ἐβόας, Πατέρα προσκυνεῖτε, Υἱὸν Θεολογεῖτε, τὸ Πνεῦμα ἀνυμνεῖτε, εἰς πάντας τοὺς αἰῶνας·

Θεοτοκίον.

Φωτὸς ἀδύτου γέγονας, ἐνδιαίτημα Πάναγνε· φῶς γὰρ τοῖς ἐν σκότει, καὶ σκιᾷ γεγέννηκας, φωτίζον τὰ σύμπαντα, Θεογνωσίας χάριτι· ᾧ ἀκαταπαύςως, οἱ πιςοὶ μελῳδοῦμεν· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας·

Ἄλλος. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὡς κῦμα θαλάσσης ἀληθῶς, ἐν σοὶ ἐξέβλυσεν, ἡ τῆς σοφίας πηγή. καὶ γὰρ ἀέναοι ἔρρευσαν, Ποταμοὶ ἐκ τῆς κοιλίας σου, Πάτερ δογμάτων εὐσεβῶν, καθὼς προέφη Χριςός· ὑπερβαίνει, ψάμμον γὰρ τεύχη τὰ σὰ θεόλεκτα·

Νομεὺς καὶ Διδάσκαλος σοφὸς, τῆς Ἐκκλησίας δειχθεὶς, τὰς δύω Κύριλλε, σαφῶς ἀνέπτυξας Ὅσιε, Διαθήκας. ἣ ὥσπερ ἄγκυραν, πνευματικοὺς κλήρους τοὺς σοὺς, ἔχουσα λόγους βοᾷ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Λό-

Λόγου σαρκωθέντος δι' ἡμᾶς, τοῦ παντεχνήμονος, σὺ τὴν ἀπόῤῥητον διδάσκεις ἕνωσιν Κύριλλε, ἀδιαίρετον ἀσύγχυτον, τὰς ἀμφοτέρων ῥοπὰς, ἴσως ἐκκλίνας βοῶν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον·

Μαρία Κυρία τοῦ παντὸς, κυριευθεῖσάν μου, τὴν παναθλίαν ψυχὴν, τοῖς τῆς σαρκὸς δεινοῖς πάθεσι, καὶ αἰσχίστοις πλημμελήμασι, σὺ ἐλευθέρωσον τῇ σῇ, δυνάμει τῇ κραταιᾷ, καὶ παράσχου, λύσιν πταισμάτων, καὶ δόξαν ἀκήρατον,

ᾠδὴ θ'. ὁ Εἱρμός.

Ἔφριξε πᾶσα ἀκοὴ, τὴν ἀπόῤῥητον Θεοῦ συγκατάβασιν, ὅπως ὁ Ὕψιστος, ἑκὼν κατῆλθε μέχρι καὶ σώματος, Παρθενικῆς ἀπὸ Γαστρὸς, γενόμενος Ἄνθρωπος. διὸ τὴν Ἄχραντον, Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν.

Τροπάριον·

Ὦ θεία κλίνη Σολομὼν, ἣν κυκλοῦσι δυνατοὶ νῦν ἑξήκοντα, ῥήσει τῆς θείας γραφῆς, ἐν ᾗ ὁ Λόγος ἐπανεπαύσατο, ταῖς μυριάσι με ἀεὶ, δαιμόνων κλονούμενον, ἄτρωτον φύλαξον, τῇ δυνάμει σου Ἁγνὴ Ἀειπάρθενε.

Στάζουσα θεῖον γλυκασμὸν, τῶν ἁπάντων γλυκασμὸν ἡ Κυήσασα, τῷ τοῦ ὄφεως, τὴν φαρμαχθεῖσαν ψυχήν μου γλύκανον, ἀλλοτριοῦσά με πικρᾶς, ἁμαρτίας πάντοτε, τῇ μεσιτείᾳ σου, προστασία τῶν πιστῶν ἀκαταίσχυντε.

Φρίττω σου μόνε Βασιλεῦ, τὴν δευτέραν παρουσίαν καὶ δέδοικα, ὅλος κατάκριτος, ἠπορημένος ὑπάρχων Κύριε. διὸ πρὸ τέλους σοὶ βοῶ, διὰ τῆς Τεκούσης σε, φεῖσαι καὶ σῶσόν με, Ἐλεῆμον Ἀγαθὲ, καὶ Φιλάνθρωπε.

Ἄλλος Ἐξέστη ἐπὶ τούτῳ·

Ἐξέλαμψεν ὁ βίος ὡς ἀστραπή. ἐξεχύθη δὲ πᾶσιν ὁ φθόγγος σου, ὥς

περ



περ βροντὴ, Πάτερ οὓς ὁ Ἥλιος ἐφορᾷ. ἐξ Οὐρανοῦ γὰρ ἔσχηκας, ἄνωθεν τὴν ἔμπνευσιν ἀληθῶς. διὸ οὐκ ἔσβεσέ σου, ὁ πρόξενος τῆς λήθης, τὴν μνήμην τάφος Ἀθανάσιε.

Φωτὶ τῷ τρισηλίῳ καὶ τριφεγγεῖ, τηλαυγέστερον νοῦν ἐλλαμπόμενος, τοῖς ὑμνηταῖς, σοῦ ἀντανακλάσεις αὐγοειδεῖς, διαφανὲς ὡς ἔσοπτρον, ἄνωθεν ἐκπέμποις ἡλιακὰς, καὶ σοὶ συστήσαις μάκαρ, κἂν μέγα καὶ ἐξόχως, ὑπὲρ ἀξίαν τὸ αἰτούμενον.

Ὑμνοῦντος δυσωποῦμέν σε ἐκτενῶς, ὑπὲρ τῆς Ἐκκλησίας ἱκέτευε, διὰ Σταυροῦ, νίκας δωρηθῆναι τῷ Βασιλεῖ, τῇ ὀρθοδόξῳ Πίστει τε, κράτος καθ' Αἱρέσεων δυσμενῶν, ἡμῖν δὲ σωτηρίαν, εἰρήνην τε τῷ Κόσμῳ, ἐν τῇ σῇ μνήμῃ Ἀθανάσιε.

Θεοτοκίον·

Σωτῆρα ὡς τεκοῦσα καὶ Λυτρωτὴν, σωτηρίας με Κόρη ἀξίωσον, ἐπιτυχεῖν, Πάναγνε πταισμάτων μου τὰς σειρὰς, ταῖς σαῖς πρεσβείαις λύτρωσαι. πάντα γὰρ ὡς θέλεις νῦν κατορθοῖς, ὡς φέρουσα ἐν κόλποις, τὸν πάντων Βασιλέα, τὸν ἀγαθότητι ἀσύγκριτον.

Ἄλλος. Εὔα μὲν τῷ τῆς παρακοῆς·

Ὕψωμα Χριστοῦ κατεπαρθὲν τῆς γνώσεως, καὶ τῆς τούτου Θεομήτορος, Κύριλλε ἅπαν κατὰ κράτος, καθεῖλες Νεστορίου τὴν ἄθεον, Υἱῶν δυάδα ὡσαύτως καὶ σύγχυσιν, τῶν ἀκεφάλων τὴν τῶν φύσεων·

Ῥώσει τῶν φρενῶν καὶ φωτισμῷ τῆς χάριτος, τὴν Τριάδα ὁμοούσιον, τόν τε Υἱὸν σεσαρκωμένον, Θεὸν ἐθεολόγησας μακάριε, ὀφθείς τε τῆς Θεοτόκου ὑπέρμαχος, ἐν τοῖς ὑψίστοις νῦν δεδόξασαι·

Ἄνωθεν ἡμᾶς σοὺς ὑμνητὰς ἀοίδιμε, ἐποπτεύοις Πάτερ ἵλεως, Ἄνακτι νίκας σταυροφόρῳ βραβεύων καὶ ὑψῶν ταῖς πρεσβείαις σου τῶν Ὀρθοδόξων τὸ κέρας φαιδρύνων τε, τοὺς τὴν σὴν μνήμην μεγαλύνοντας.

Θεοτοκίον.

Στειρεύουσαν, θείων ἀρετῶν Πανάχραντε, Θεοτόκε τὴν καρδίαν

μου,

μου, δεῖξον Παρθένε καρποφόρον, ἐκ ςείρας ἡ τεχθεῖσα βουλήματι, τοῦ πάντα μεταποιοῦντος τῷ πνεύματι, ἵνα ὑμνῶσε τὴν πανύμνητον.

Ἐξαποςειλάριον.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τῆς ὑπερθέου πάνσοφοι, ἀνεδείχθητε μύςαι, Τριάδος καὶ ὑπέρμαχοι, Ἀθανάσιε μάκαρ, καὶ Κύριλλε θεοφάντωρ, Ἄρειον καθελόντες, καὶ σὺν αὐτῷ Σαβέλλιον, καὶ Νεςόριον αὖθις, τὸν δυσσεβῆ, καὶ σὺν τούτοις ἅπασαν ἄλλην πλάνην, τῶν δυσσεβῶν αἱρέσεων, Ἱεράρχαι Κυρίου.

Θεοτοκίον. Ὅμοιον.

Ὄρος Θεοῦ πανάγιον, καὶ Λυχνίαν καὶ ςάμνον, καὶ Κιβωτὸν καὶ Τράπεζαν, Ῥάβδον τε καὶ Πυρεῖον, καὶ θεῖον Θρόνον καὶ Πύλην, καὶ Ναὸν καὶ παςάδα, ὑμνήσωμεν θεόφρονες, τὴν ἁγνὴν καὶ Παρθένον. ἐξ ἧς Θεὸς, σαρκωθεὶς ἀτρέπτως καὶ ὑπὲρ φύσιν, ἐθέωσε τὸ πρόσλημμα ἀποῤῥήτῳ ἑνώσει.

Εἰς τοὺς Αἴνους, ἱςῶμεν ςίχ: δ'. καὶ ψάλλομεν ςιχηρὰ προσόμοια, ἦχος ά. (Νέα) τῶν οὐρανίων ταγμάτων.

Δεῦτε φιλέορτοι πάντες πανηγυρίσωμεν, τὴν Μνήμην τῶν ἐνδόξων Διδασκάλων τιμῶντες. ἐν πνεύματι γὰρ θείῳ καθεῖλον ὀφρὺν ἀκαθέκτων Αἱρέσεων, καὶ θεοφθόγγοις διδάγμασι τὴν χριςοῦ Ἐκκλησίαν ὑπεςήριξαν.

Ὀρθοδοξίας ἀκτῖσι περιλαμπόμενοι, οἱ νοητοὶ ἀςέρες, ὑπερηύγασαν λόγοις. ὁ μὲν γὰρ τὴν Ἀρείου θεοςυγῆ γλωσσαλγίαν ἐφίμωσεν, ὁ δὲ Νεςόριον αὖθις καὶ ἐμμανῆ, καταβέβληκε Σαβέλλιον.

Τὴν Ἱερὰν Ξυνωρίδα τῶν Διδασκάλων ἡμῶν, τοὺς Ζηλωτὰς Κυρίου εὐφημήσωμεν ὕμνοις, Κύριλλον τὸν θεῖον, φλόγα πυρὸς, καὶ ςεῤῥὸν Ἀθανάσιον. ἐν οὐρανοῖς γὰρ συνόντες ὑπὲρ ἡμῶν, τῷ Θεῷ ἀεὶ πρεσβεύουσι.

Ιε-



Ταῖς ἱκεσίαις τῶν θείων Ἱεραρχῶν σου Χριςὲ, ἐπίσκεψαι ἐξ ὕψους, ἐκλογάδα σου ποίμνην, ἐκ μέσῳ νεμομένην λύκων φρικτῶν, ὧν τὰ θράση κατάβαλε. οὐ γὰρ ἐπαύσατο ἔτι καὶ νῦν, ἰδοὺ, τῶν Αἱρέσεων τὰ σκάνδαλα.

Δόξα ἦχος πλ. ά.

Δεῦτε φιλεόρτων τὸ σύςημα, δεῦτε τῶν πιςῶν ἡ ὁμήγυρις. δεῦτε ὀρθοδόξων χορεῖαι, ᾄσμασιν ἐγκωμίων σέψωμεν τὴν ἀεισέβαςον Δυάδα τῶν Διδασκάλων ἡμῶν. οὗτοι γὰρ πάντα ζόφον κακίςης αἱρέσεως, πᾶσαν ἀπάτην τῶν δυσμενῶν, νεανικῶς καθελόντες, τῇ ἀηττήτῳ τοῦ παντάνακτος ἰσχύϊ, τὸν κόσμον κατηύγασαν, θεογνωσίας ἐλλάμψεσι. καὶ νῦν πρεσβεύουσιν ὑπὲρ ἡμῶν, τῶν ἐν πίςει τελούντων τὴν μνήμην αὐτῶν.

Καὶ νῦν Θεοτοκίον. Μακαρίζομέν σε.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν....

Ὁ Ἀπόςολ. Ἀδελφοί: πείθεσθε τοῖς Ἡγουμένοις...;

Ἀλληλούϊα:

Εὐαγγέλιον. ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος. ὑμεῖς ἐςε τὸ φῶς τοῦ κόσμου.

Κοινωνικόν.......

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ταῖς ἱκεσίαις τῶν θείων Ἱεραρχῶν σου Χριστὲ, ἐπίσκεψαι ἐξ ὕψους, ἐκλογάδασου ποίμνην, ἐν μέσῳ νεμομένην λύκων φρικτῶν, ὧν τὰ θράση κατάβαλε· οὐ γὰρ ἐπάυσατο ἔτι καὶ νῦν, ἰδοὺ, τῶν Αἱρέσεων τὰ σκάνδαλα.

Δόξα ἦχος πλ. ά·

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε τῶν πιστῶν ἡ ὁμήγυρις. δεῦτε ὀρθοδόξων χορεῖαι, ἄσμασιν ἐγκωμίων σέψωμεν τὴν ἀεισέβαστον Δυάδα τῶν Διδασκάλων ἡμῶν. οὗτοι γὰρ πάντα ζόφον κακίστης αἱρέσεως, πᾶσαν ἀπάτην τῶν δυσμενῶν, νεανικῶς καθελόντες, τῇ ἀηττήτῳ τοῦ παντάνακτος ἰσχύϊ, τὸν κόσμον κατηύγασαν, θεογνωσίας ἐλλάμψεσι· καὶ νῦν πρεσβεύουσιν ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τελούντων τὴν μνήμην αὐτῶν.

Καὶ νῦν Θεοτοκίον, Μακαρίζομέν σε.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις·

Εἰς τὴν Λειτουργίαν τὰ παρόντα Ἀντίφωνα·

Ἀντίφωνον ά·

Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. } Ταῖς πρεσβείαις.

Δεῦτε τέκνα ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ἡμᾶς.

Ἀρχὴ σοφίας φόβος Κυρίου, καὶ βουλὴ ἁγίων σύνεσις.

 Ἀν-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## Ἀντίφωνον β'.

Ἐξομολογήσομαί σοι ἐν Ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε.
Πληρωθήτω τὸ ςόμα μου αἰνέσεώς σου Κύριε.
Νίψομαι ἐν ἀθώοις τὰς χεῖρας μου, καὶ κυκλώσω τὸ θυσιαςήριόν σου.
Εἶπα τοῖς παρανομοῦσι μὴ παρανομεῖτε· καὶ τοῖς ἁμαρτάνουσι, μὴ ὑψοῦτε κέρας.

} Σῶσον ἡμᾶς . . . ὁ ἐν ἁγίοις . . .

## Ἀντίφωνον γ.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν Ἁγίων αὐτοῦ.
Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.
Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην.

} Τὸ τροπάριον τῶν τῶν Ἁγίων.

Εἰς τὴν Εἴσοδον τροπάριον τῶν Ἁγίων·
τοῦ ἁγίου τῆς Μονῆς, καὶ Κοντάκιον. Ὁ μήτραν παρθενικὴν·
ὁ Ἀπόςολος· Ἀδελφοὶ μνημονεύετε τῶν ἡγουμένων.
Εὐαγ. κατὰ Ματθ. Εἶπεν ὁ Κύριος ὑμεῖς ἐςε τὸ φῶς τοῦ κόσμου.
Κοινωνικόν. Εἰς μνημόσυνον· καὶ Ἀπόλυσις·



## Εὐχὴ εἰς πανώλην. Α'

Κύριε Ἰησοῦ Χριςὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐν ἐλέει ἀμέτρητος καὶ ἐν φιλανθρωπίᾳ ἀνείκαςος, ὁ διὰ τὴν ἀθώωσιν τοῦ προπατορικοῦ ἁμαρτήματος, Θεὸς ὢν προαιώνιος καὶ ἀΐδιος ἐνανθρωπῆσαι καταδεξάμενος, καὶ μέχρι ςαυροῦ καὶ ταφῆς ὑπήκοος τῷ οὐρανίῳ Σου Πατρὶ, διὰ τὴν ἡμετέραν σωτηρίαν γενόμενος, ὁ καὶ ῥήμασι πατρικοῖς προσκαλῶν τοὺς ἀπειθεῖς τοῦ νόμου Σου, καὶ παραβάτας τῶν ἐντολῶν Σου, καὶ διαφόροις τρόποις τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν πανσόφως οἰκονομῶν, καὶ φιλανθρώπως προνοούμενος. Σοὶ τοίνυν τῷ προνοητῇ καὶ κηδεμόνι τοῦ παντὸς, τῷ μὴ θέλοντι τῶν ἁμαρτωλῶν τὴν ἀπώλειαν, ἀλλὰ τὴν ἐπιςροφὴν καὶ σωτηρίαν, προσπίπτοντες μετὰ κλαυθμοῦ, καὶ συντετριμμένης καρδίας δεόμεθά Σου ἐκτενῶς, ὅπως ἐπαγάγῃς τὸ ἔλεός Σου ἐφ' ἡμᾶς, καὶ ἐλευθερώςῃς πάντας τοὺς ἐπικαλουμένους Σε ἐν ὅλῃ καρδίᾳ τῶν ἐπικειμένων συμφορῶν, καὶ ἀνιαρῶν περιςάσεων, πρὸ πάντων δὲ καὶ ἐπὶ πάντων, ἀπαλλάξῃς ἡμᾶς φιλάνθρωπε τοῦ ἐνεςῶτος λοιμοῦ, καὶ τοῦ ἀώρου καὶ αἰφνηδίου θανάτου, ἐξ οὗ ἀνεπαισθήτως τιτρωσκόμενοι οἱ ἄνθρωποι, οὐ μόνον τῆς σωματικῆς ὑγιείας, ἀλλὰ καὶ αὐτῆς τῆς ψυχικῆς σωτηρίας ὑςεροῦνται οἱ πανάθλιοι, διὰ τὸ μὴ ἔχειν αὐτοὺς ἐκ τῆς ὀξύτητος τοῦ πάθους, τὸν προσήκοντα καὶ ἁρμόδιον καιρὸν, τὸ ὀφειλόμενον ποιῆσαι, καὶ τὰ τῆς σωτηρίας εἰκότως οἰκονομήσασθαι· διὰ τοῦτο Σοῦ δεόμεθα καὶ σὲ παρακαλοῦμεν (Ἅγιε Ἁγίων) μὴ παρίδῃς ἡμᾶς, οὓς διὰ τοῦ Παναγίου καὶ πολυτίμου Σου αἵματος ἐκ τῆς αἰχμαλωσίας τοῦ διαβόλου ἐξηγόρασας, καὶ τῆς αἰωνίου καταδίκης ἠλευθέρωσας, καὶ τῆς ἐπουρανίου δόξης κοινωνοὺς ἐποίησας, καὶ υἱοὺς Θεοῦ, καὶ θεοὺς κατὰ χάριν ἀνέδειξας, ἀμετανοήτους ὑπὸ τοῦ λοιμοῦ διαφθείρεσθαι, καὶ τῇ γεέννῃ καταδικάζεσθαι· ἀλλ' ἐπάκουσον τῆς οἰκτρᾶς καὶ κατωδύνου δεήσεως ἡμῶν, καὶ ἀπάλλαξον πάντας ἡμᾶς τῆς ἐνεςώσης πληγῆς, καὶ τῆς ἐπικειμένης θανατηφόρου ἀσθενείας ἐλευθέρωσον, ἀποσοβῶν ὁλοτελῶς (διὰ τῆς θείας Σου χάριτος) τήν τε δύναμιν καὶ τὸν μολυσμὸν αὐτῆς, τῆς ὁμηγύρεως τῶν εὐσεβῶν, καὶ τοῦ γένους τῶν ὀρθοδόξων.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

οἴδαμεν Κύριε, οἴδαμεν, ὅτι διὰ τὰς πολλὰς ἁμαρτίας, ἃς καθ' ἑκάστην ἀσυνειδήτως πράττομεν, ἀπέστρεψας τὸ πρόσωπόν Σου ἀφ' ἡμῶν, καὶ ἐκάλυψεν ἡμᾶς σκιὰ θανάτου. ἀλλὰ μὴ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν διὰ τὸ ὄνομά Σου τὸ ἅγιον, μηδὲ ἀποδοκιμάσῃς ἡμᾶς ἐκ τῆς τάξεως τῶν ἐκλεκτῶν Σου, καὶ καλύψῃ ἡμᾶς αἰσχύνη, ἐναντίον τῶν ἀθετούντων τὴν Θεότητά Σου· ἀλλ' ἐπάκουσον δεομένους καὶ προσπίπτοντας μετὰ κατανύξεως, καὶ συντετριμμένης καρδίας ἐνώπιόν Σου. ἔχεις Δέσποτα σπλάγχνα ἐλέους καὶ ἀειρρύτους πηγὰς χρηστότητος, ἐν οἷς ἐπιστηριζόμενοι ἐλπίζομεν ἀδιστάκτως, οὐ μόνον τὴν τῶν ἁμαρτιῶν ἄφεσιν, ἀλλὰ καὶ πάντων τῶν ἐνεστώτων ποινῶν, καὶ ἐπικειμένων βασάνων, τὴν ἀπολύτρωσιν· ἀναξίως, ναὶ Κύριε τῆς προσηγορίας τοῦ Χριστιανισμοῦ ἐπορεύθημεν, παραβάντες ἀδεῶς τοὺς Νόμους Σου, καὶ ἀθεμίτοις ἔργοις, καὶ εναγέσι πράξεσιν, ὅλον τὸν πλοῦτον τῆς Θείας Σου χάριτος καταδαπανήσαντες, ὁλικῶς ἐξ αὐτοῦ ἐγυμνώθημεν, καὶ τῷ πονηρῷ πολίτῃ ἀνοήτως ἐδουλώθημεν, ἀλλ ἐπὶ Σὲ πάλιν τὸν φιλόστοργον ἡμῶν πατέρα μετανοημένοι ἐπιστρέφομεν, καὶ ὡς ὁ ἄσωτος υἱὸς μετὰ κλαυθμοῦ βοῶμεν, ἡμάρτομεν Πάτερ ἐνώπιόν Σου, καὶ οὐκ ἐσμὲν ἄξιοι κληθῆναι υἱοί Σου· ἀλλὰ Σὺ ὡς φιλόστοργος πατὴρ, καὶ φιλανθρωπότατος Δεσπότης, ὁ μὴ θέλων τὸν θάνατον τῶν ἁμαρτωλῶν, ἀλλὰ τὴν μετάνοιαν καὶ σωτηρίαν, δέξαι εὐγνωμόνως τὴν μετάνοιαν ἡμῶν, καὶ σπλαγχνισθεὶς ἡμᾶς κράτησον τὴν ὁρμὴν τῆς δικαίας Σου ἀπειλῆς, παῦσον τὴν θραῦσιν τῆς ἤδη ἐνεργουμένης Σου ὀργῆς. καὶ λύτρωσαι πάντας ἡμᾶς ἐκ τῆς λοιμώδους ἀσθενείας, καὶ τοῦ ἐπικειμένου φοβεροῦ καὶ πικροτάτου θανάτου, ὅπως ἀπαλλαγέντες τῆς ἀφορήτου ταύτης ποινῆς, καὶ τῆς ἐπικειμένης ἀνεικάστου ἀσθενείας ἐν εὐθυμίᾳ ψυχῆς, καὶ εὐφροσύνῃ καρδίας, δοξάσωμεν Σὲ τὸν ποιοῦντα ἐν ἡμῖν μεγάλα καὶ θαυμαστὰ· ἔνδοξά τε καὶ ἐξαίσια. Σὸν γὰρ ἐστὶ τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ Πατρί, καὶ τῷ μονογενεῖ Σου Υἱῷ, καὶ τῷ παναγίῳ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰ-

ῶνας



ῶνας τῶν αἰώνων, Ἀμήν.

### Εὐχὴ ἑτέρα εἰς πανώλην· β'.

Οἶδας τὸ πλάσμα ἡμῶν, οἶδας τὴν ἀσθένειαν ἡμῶν φιλάνθρωπε Κύριε. πάντες γὰρ ἡμάρτομεν, ἀλλὰ Σοῦ οὐκ ἀπέστημεν, οὐδὲ διεκπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον. φεῖσαι ἡμῶν κατὰ τὸ πλῆθος τῶν οἰκτειρμῶν Σου δεόμεθα, ὁ τῶν Νινευϊτῶν τὰς ἀνομίας πρότερον μὲν ἀνεχόμενος, ὕστερον δὲ τὴν μετάνοιαν αὐτῶν καὶ ἐπιστροφὴν προσδεξάμενος, καὶ χαρισάμενος αὐτοῖς δι' ὑπερβάλλουσαν ἀγαθότητα καὶ μακροθυμίαν, πάσας τὰς ἀνομίας καὶ τὰ πλημμελήματα, τῇ συνήθει καὶ ἀφάτῳ Σου φιλανθρωπίᾳ χρησάμενος. Δέξαι Κύριε καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰς δεήσεις ταύτας καὶ τὰς εὐχὰς, ὡς ποτὲ τῶν Νινευϊτῶν τὴν ἐπιστροφὴν καὶ μετάνοιαν. Δέξαι τὰ δάκρυα ἡμῶν καὶ τοὺς στεναγμούς. δέξαι τὴν τεταπεινωμένην ἡμῶν δέησιν· οὐ γὰρ δυνάμεθα ὅλως ταῖς ἁμαρτίαις γενόμενοι, πρὸς Σὲ τὸν μόνον ἀναμάρτητον ἀτενίζειν· δέξαι τὰς ἐκ βάθους καρδίας ἀναπεμπομένας Σοὶ τῷ Δεσπότῃ κραυγὰς δεητικὰς· δέξαι τοῦ ταλαιπώρου λαοῦ τὴν παράκλησιν. Νικησάτω ἡ ἄβυσσος τῆς Σῆς εὐσπλαγχνίας τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτιῶν· στῆσον τὴν ὀργήν Σου, καταπράϋνον τὸν θυμόν Σου τὸν δίκαιον, καὶ δὸς τοῖς κάμνουσι τὴν ὑγείαν, τοῖς ἀσθενοῦσι τὴν ῥῶσιν, τοὺς δὲ ὑγιαίνοντας τήρησον ἐν ταύτῃ, πᾶσαν δὲ νόσον τῆς λοιμικῆς ἀσθενείας ταύτης τῆς πανώλης ἀπέλασον ἐκ τοῦ λαοῦ Σου. πάντας τῆς προσδοκίας ταύτης ἐλευθέρωσον, συντηρῶν ἀνεπηρεάστους τῆς αἰκισάσης ἀσθενείας, καὶ φυλάττων παντοκρατορικῇ Σου χειρὶ ἀπροσψαύστους τῆς δεινῆς ταύτης κακώσεως, καὶ ὀλεθρίου συντριβῆς, ἱλάσθητι, καὶ ἄνες Κύριε, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, καὶ πάντων Σου τῶν ἁγίων ἐλέησον καὶ σῶσον ἡμᾶς. Ὅτι Σὺ εἶ ἡ τοῦ ἐλέους πηγή, καὶ τῆς εὐσπλαγχνίας ἀνεξιχνίαστος ἄβυσσος, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ Σου Πατρί, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωο-

ποιῷ

ποιῷ Σου Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Προσευχὴ ἐπικοίτιος. Γ΄,

Κύριε, ὁ τῆς μὲν ἡμέρας τὸ φῶς τοῖς πόνοις, τῆς δὲ νυκτὸς τὸ σκότος τῇ τῶν πόνων ἀναπαύσει ἀποτάξας, δός μοι τρεπομένῳ πρὸς ὕπνον, οὕτω διαναπαύειν ταύτῃ τῇ νυκτὶ τὸ ἐμὸν σῶμα, ὥςε μεταξὺ καθεύδοντος αὐτοῦ ἐγρηγορεῖαν τὴν ψυχήν μου ἀτενὲς πρὸς Σὲ βλέπειν, καὶ τῷ πόθῳ Σου ἀναπτεροῦσθαι. μηδέ με περιόρα ὅταν πάσας τὰς βιωτικὰς μερίμνας ἀποθῶμαι, ἐφ᾽ ᾧ τὴν ἀναγκαίαν τῇ ἐμῇ ἀσθενείᾳ, ἀνάπαυλαν δοῦναι ἅμα, καὶ Σοῦ ἐπιλανθανομένου, μᾶλλον δὲ ἡ τῆς σῆς ἀγαθότητος, καὶ χάριτος μνήμη ἀνεξάλειπτος ἐν τῇ ἐμῇ ψυχῇ διαμένῃ, ἵνα ὥσπερ τὸ σῶμα, οὕτω καὶ ἡ ἐμὴ συνείδησις ἡσυχίας τυγχάνῃ. Κώλυσον δὲ καὶ τὸ ἐμὸν σῶμα ἐντρυφᾶν τῷ ὕπνῳ, ὅπως ἂν μὴ ἀπολαύω πλέον αὐτοῦ, ἢ ὅσον κεκοπιασμένῳ σώματι ἀρκεῖ, ἐφ᾽ ᾧ πρὸς τὴν σὴν θεραπείαν μετὰ ταῦτα κάλλιον παρεσκευάσθαι. τέλος δὲ ἁγνόν με, τά τε κατὰ τὸ σῶμα, καὶ τὰ κατὰ τὴν ψυχὴν διατήρησον, καὶ παντὸς κινδύνου ἀπάλλαξον, ἵνα καὶ ὁ ὕπνος μου πρὸς τὴν δόξαν τοῦ Σοῦ ὀνόματος ἀναφέρηται· ἐπειδὴ δὲ οὕτως εὐκαταφόρως πρὸς τὸ ἁμαρτάνειν ἔχω, ὥςε οὐδὲ ταύτην τὴν ἡμέραν δυνηθῆναι, ἄπταιςος διαπερᾶν, δέομαί Σου, καθάπερ τῷ τῆς νυκτὸς ζόφῳ, τῷ ἐπὶ τὴν γῆν ὑπὸ Σοῦ καταπεμπομένῳ τὰ πάντα νῦν κεκάλυπται, οὕτω καὶ τὰ ἐμὰ πταίσματα τῷ Σῷ ἐλέει ἀποκρύπτειν, ὡς ἂν μὴ αὐτὰ τῆς πρὸς σὲ εἰσόδου ἀπείργῃ με. Εἰσάκουσόν μου ὁ Θεός μου, ὁ Πατὴρ ἅμα καὶ σωτήρ μου ὤν, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, καὶ τοῦ παναγίου Σου Πνεύματος. Ἀμήν.

448

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΚΥΡΙΑΣ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΤΕΡΑ

# ΑΚΟΛΟΥΘΙΑ.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΟΚΤΩΒΡΙΟΥ. Δ΄.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΕΡΟΘΕΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΑΘΗΝΩΝ·

Εἰς τὸν Ἑσπερινὸν ςχλγ: τὸ, Μακάριος ἀνήρ·
Εἰς δέ τὸ, Κύριε ἐκέκραξα ςιχ· προσόμοια· ἦχος α΄·

Πανεύφημοι Μάρτυρες.

Ο φωτοειδέςατος Χριςοῦ, ἔρως καὶ θειότατος, τὴν σὴν ψυχὴν κατελάμπρυνε, καὶ τὴν διάνοιαν, γλυκυτάτῳ φέγγει, εὐσεβῶς ἐπύρσευσε, καὶ πᾶσαν αἰσθητὴν ἡδυπάθειαν, ὡς πῦρ κατέφλεξεν, οὐρανίων ἐπιλάμψεων, ἐκτελέσας, δοχεῖον πανέντιμον·

Η μεγαλοπρέπεια τῶν σῶν, λόγων Ἱερόθεε, καὶ τῶν σοφῶν ἀποδείξεων, ἡ παναρμόνιος, καὶ ἀκριβεςάτη, ἀγωγὴ καὶ μέθοδος, ἐπιςημονικῆς διαθέσεως, καρπὸς γνωρίζεται, καὶ φωτίζει τοὺς προςρέχοντας, καὶ σοφίζει, τοὺς ἀναγινώσκοντας.

Τὸ περιφανέςατον τῶν σῶν, συνταγμάτων Ὅσιε, περὶ τὰ θεῖα θεάματα, ὁ Διονύσιος, ὁ πολὺς τὰ θεῖα, τοῖς πιςοῖς ἐκήρυξε, καὶ τὸ ὑπερφυὲς τῶν δογμάτων σου· μεθ' οὗ δυσώπησον, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος·

Ἕτερα ςιχ. προσόμοια. ἦχος δ.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἡ τῶν λόγων σε δύναμις, τῶν τοῦ Παύλου κατήγαγεν, ἀπὸ τοῦ ὑψώματος Ἱερόθεε, τοῦ τῆς βουλῆς καὶ ἀνήγαγεν, ὡς ἄξιον ὄντα σε, ἐπὶ τῆς περιωπῆς. Ἐκκλησίας τοὺς οἴακας παραδοὺς αὐτῆς, ἣν ὡς ἄριςος ὄντως κυβερνήτης, προσκατίθυνας εἰς ὅρμους τοὺς ἀκυμάντους καὶ ἔσωσας·

Ὁμοτρόπως διάγοντα, Ἀποςόλοις ὁ Κύριος, τούτοις συμπαρέςησεν Ἱερόθεε, τῇ τῆς ἀχράντου μητρὸς αὐτοῦ, κηδείᾳ ἣν ἔςεψας, ἐγκωμίοις ἀληθῶς, καταλλήλοις καὶ προὔπεμψας, τῷ Υἱῷ αὐτῆς, τῷ Θεῷ, καὶ Σωτῆρι τῶν ἁπάντων, μεθ' ἧς ἄληκτα δυσώπει, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων σε.

Ὢν ἐν γῇ Ἱερόθεε, τὰς ἐμφάσεις ἐκέκτησο, ἄνω ὡς θεόληπτος, ἀφορῶν ἀεί, Ἱεροφάντορ πανάριςε, ὡς τούτων βεβαίας νῦν, ἀπολαύων ἀληθῶς, ἀντιδόσεις πανόλβιε, καθικέτευε, ἱλασμὸν δωρηθῆναι τοῖς ἐν πίςει, ἐκτελοῦσι σου τὴν μνήμην, τὴν φωτοφόρον καὶ πάνσεπτον.

Δόξα ἦχος ά.

Χαίρει σήμερον ἡ τοῦ Χριςοῦ Ἐκκλησία, ἐπὶ τῇ μνήμῃ τοῦ Ἰσαποςόλου, καὶ ᾄσμασιν ἱεροῖς τὴν θεοςεφῆ αὐτοῦ καταςέφει κορυφήν. ὅτι φερωνύμως ἱερωμένος ὢν τῷ Θεῷ, πράξει καὶ θεωρίᾳ θεόληπτος ἐγένετο. καὶ οἷα ἀετὸς ὑψιπέτης, εἰς τὸν ἄδυτον γνόφον εἰσδὺς τῆς Θεολογίας, ὡς ὁ διδάσκαλος αὐτοῦ Παῦλος ὁ Ἀπόςολος, ἐκεῖθεν ἐμυήθη τὰ ἀπόρρητα, καὶ τῷ ὁμοτρόπῳ Ἱερῷ Διονυσίῳ, μυςαγωγήσας ἡμᾶς, ἐπλούτισε τὴν γνῶσιν τῶν ὑπερκοσμίων. ἐν οἷς σὺν ἐκείνῳ νῦν εὐφραινόμενος, ἐκτυπώτερον ἐπαπολαύει τῆς θείας δόξης, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν·

Καὶ νῦν



Καὶ νῦν. Θεοτοκίον.

Τὴν Παγκόσμιον δόξαν τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιςῶν τὸ ἐγκαλλώπισμα. Αὕτη γὰρ ἀνεδείχθη Οὐρανὸς, καὶ ναὸς τῆς Θεότητος. Αὕτη τὸ μεσότειχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέωξε· ταύτην οὖν κατέχοντες τῆς πίςεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, Θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθροὺς ὡς Παντοδύναμος·

Εἴσοδος.

Τὸ Φῶς Ἱλαρόν.

Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ

Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ, μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς, ὃς εἶδε φρόνησιν. κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς· τιμιωτέρα δὲ ἐςὶ λίθων πολυτελῶν, πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐςίν· ἐκ γὰρ τοῦ ςόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη. νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ· τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει· αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ κυρίου. διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων, ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ δὲ ἰσχύς. ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. νοήσατε τοίνυν ἄκακοι πανουργίαν· οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων

ὀρθὰ

ὀρθά. ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ ϛόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιὸν, οὐδὲ ϛραγγαλιῶδες. πάντα εὐθέα ἐϛὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποϛάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίϛανται χάριτας. ϛόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπὶς. υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωὴν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ, καρπὸν δικαιοσύνης τρυγήσει· φῶς δικαίοις διὰ παντὸς, καὶ παρὰ κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. γλῶσσα σοφῶν καλὰ ἐπίϛαται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία· ἀγαπᾷ κύριος καρδίας ὁσίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. σοφία κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτὴν πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. ὁ ὀρθρίσας πρὸς αὐτὴν, οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτὴν, ταχέως ἀμέριμνος ἔϛαι· ὅτι τοὺς ἀξίους αὐτῆς, αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς· σοφίας οὐ κατισχύσει ποτὲ κακία. διὰ ταῦτα καὶ ἐραϛὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ, ὅτι ὁ πάντων δεσπότης ἠγάπησεν αὐτήν· μύϛις γάρ ἐϛι τῆς τοῦ Θεοῦ ἐπιϛήμης, καὶ εὑρετὴς τῶν ἔργων αὐτοῦ· οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐϛιν ἐν βίῳ ἀνθρώποις. εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα, καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίϛαται ϛροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων· καὶ πᾶσι σύμβουλός ἐϛιν ἀγαθὴ, ὅτι ἀθανασία ἐϛιν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς.

Σοφίας

ΕΙΟΣ ΒΙΒ
ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ



## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα·

Εγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοὶ, ἀθανασία γάρ ἐϛιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ παρὰ θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις· καὶ ἀρεϛὴ κυρίῳ ἡ ψυχὴ αὐτοῦ· ἐπιθυμήσατε τοιγαροῦν, ὦ ἄνδρες, σοφίαν, καὶ ποθήσατε, καὶ παιδευθήσεσθε· ἀρχὴ γὰρ αὐτῆς ἀγάπη, καὶ τήρησις νόμων. τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. ἀπαγγελῶ ὑμῖν, καὶ οὐ κρύψω ἀφ' ὑμῶν μυϛήρια θεοῦ. ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐϛι, καὶ τῶν σοφῶν διορθωτής. καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις καὶ ἐργασιῶν ἐπιϛήμη. ἡ πάντων φρόνησις, ἐδίδαξε σοφίαν. ἐϛι γὰρ ἐν αὐτῇ πνεῦμα νοερὸν, ἅγιον, ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ θεοῦ· αὕτη φίλους θεοῦ καὶ προφήτας κατασκευάζει. εὐπρεπεϛέρα δὲ ἐϛιν ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἀϛέρων θέσιν· φωτὶ συγκρινομένη, εὑρίσκεται προτέρα. αὕτη τοὺς θεραπεύοντας αὐτὴν ἐκ πόνων ἐρρύσατο, καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείαις. ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς, ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντός ἐϛιν ἡ εὐσέβεια, καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐ δ' οὐ μὴ παρελεύσεται πονηροὺς ἐλέγχουσα ἡ δίκη.

### Εἰς τὴν Λιτὴν ϛιχ. Ἰδιόμελα.

### Ἦχος α'.

Η ἡλιοσόλιϛος Γυνὴ, ἣν ὁ τῆς Θεολογίας ὑψιπέτης ἀετὸς, ἐν μέσῳ τοῦ Οὐρανοῦ ἐθεάσατο, τὴν τοῦ Χριϛοῦ φασὶ, πίϛιν ὑπαινίττεται· οὐράνιον γὰρ φῶς ἐϛὶν ἀληθῶς, παρὰ τοῦ Πατρὸς τῶν φώτων προερχόμενον. σοφία ἐϛιν, ἣν κατὰ Παῦλον, οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκε. ταῖς παμφαέσιν οὖν ἀκτῖσιν αὐτῆς καταγλαϊσθεὶς Ἱερόθεε, ὁλοπόθως αὐτῇ προσῆλθες, τῆς τοῦ αἰῶνος τούτου σοφίας τὴν οὐράνιον περὶ πλείϛου ποιησάμενος.

ὁ αὐτός.

Τοῦ μεγάλου ἀετοῦ, τοῦ ἐκ τῶν κόλπων τοῦ Πατρὸς ἐπὶ τῆς γῆς ἐπιφοιτήσαντος, οἱονεὶ δυσὶ πτέρυξι, Πέτρῳ καὶ Παύλῳ, πετασθεῖσα ἡ οὐράνιος γυνή, διῆλθεν ἀπὸ θαλάσσης, κατὰ τὸν προφήτην, ἕως θαλάσσης, καὶ ἀπὸ ἀνατολῶν Ἡλίου μέχρι δυσμῶν· ὢ τῆς μεγάλης βουλῆς τοῦ Θεοῦ, καὶ ἀπείρου σοφίας! τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο, ἵνα καταισχύνῃ τοὺς σοφούς· καὶ τὰ ἀσθενῆ τοῦ κόσμου, ἵνα καταισχύνῃ τὰ ἰσχυρά. καὶ τὰ ἀγενῆ καὶ ἐξουθενημένα, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ. οἷς λίαν ἐμφρόνως πειθαρχῶν σοφὲ Ἱερόθεε, ὁμότροπος αὐτοῖς ἐγένου καὶ Ἰσαπόστολος·

ἦχος β'.

Φερωνύμως ἱερὸς Θεῷ ἀνεδείχθης, ἱεροφάντορ Ἱερόθεε· Παύλῳ γὰρ τῷ οὐρανίῳ μυσταγωγῷ ἑπόμενος, καὶ ταῖς ἐκείνου φωτιστικαῖς θεηγορίαις φωτιζόμενος, τῷ ἀληθεῖ προσήγγισας Θεῷ, τὴν ἀντίθεον τῶν εἰδώλων λατρείαν ἀπειπάμενος. διὸ καὶ ὑπ' αὐτοῦ, τῆς νεοσυλλέκτου Ἐκκλησίας Ποιμὴν προχειρισθείς, καὶ ταύτην ὁσίως καὶ δικαίως ποιμάνας ἐν τῇ ἀνθηρᾷ τῶν ὀρθῶν σου λογίων πόᾳ, σὺν αὐτῇ ἐν οὐρανοῖς συναγελάζῃ ἀοίδιμε.

ἦχος· δ.

Ὢ τοῦ παραδόξου θαύματος, ὁ ἰδιώτης τῷ λόγῳ, καὶ ἁπλοῦς τῷ τρόπῳ Παῦλος, τῆς σοφίας τὰς συμπλοκάς, καὶ ἀποδείξεις τὰς σοφιστικάς, ὡς νηπίων ἀποδείκνυσι ψελλίσματα· θεία δύναμις· αὕτη ἐστὶν ἡ νίκη, ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν, οὐκ ἐν πειθοῦς ἀνθρωπίνης σοφίας λόγοις, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ. ἀλλ' ἐν ἀποδείξει πνεύματος, οὗ τῇ πανσθενεῖ ἐνεργείᾳ, ἐξ ἀσεβείας εἰς εὐσέβειαν μεταστοιχειωθείς, θεολογίας δόγματα, ὡς ποταμὸς ἀνέβλυσας, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ· οἷς καθ' ἑκάστην ἀρδομένη, χρεωστικῶς γεραίρει σε Πάτερ Ἱερόθεε.

Δόξα



Δόξα ἦχος πλ. δ'.

Σοφίας τῆς τοῦ αἰῶνος τούτου, οἴκοθεν τρόφιμος ὤν, σοφίας τοῦ Θεοῦ, τῆς ὑπὸ τοῦ Παύλου λαλουμένης, ἐραστὴς δείκνυσαι ἔνθερμος. διὸ ἐκείνην μέν, καὶ τὰ περὶ ἐκείνην καταπτύεις ἀφειδῶς, ὡς μύθων καὶ λήρων ἀνάμεστα· τὴν δὲ περιπτυσσάμενος, τὰ ἐν μυστηρίῳ αὐτῆς ἀποκεκρυμμένα διασαφεῖς, εὐφραδείᾳ ὅσῃ, σωμυλίᾳ τε καὶ ἑρμηνείᾳ χρησάμενος. ὅθεν σε ὡς θεόληπτον καὶ θεηγόρον κήρυκα, ἀνυμνοῦντες οἱ πιστοί, τὴν πάνσεπτον μνήμην σου ἐκτελοῦμεν χαρμονικῶς, καὶ πρὸς τὸν Σωτῆρα προβαλλόμεν πρέσβυν ἀκαταίσχυντον.

Καὶ νῦν Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου·

Εἰς τὸν στίχον στιχ. προσόμοια. ἦχος ά.

Τῶν οὐρανίων ταγμάτων.

Ἀπὸ τῆς κτίσεως κόσμου, ἀλληλουχίας τε, μερῶν τῶν τούτου ἔτι καθεώρας προφρόνως, τὸν κτίστην πάτερ τούτου, μίαν δ' ἀρχήν, τῶν ἁπάντων ἀΐδιον. παρὰ σοφίας ὡς ἄριστα ἐκμαθών, τῆς φυσικῆς ὦ Ἱερόθεε·

στιχ. Εἰς πᾶσαν τὴν γῆν.

Ὑπερφυῆ τε σοφίαν δὰ τῆς πίστεως, σαυτῷ προσπεριέθου, Ἱερόθεε μάκαρ· ἕνα γὰρ τῇ φύσει, πιστῶς τὸν Θεόν, ἐν προσώπων τριάδι δέ. καὶ τὸν υἱὸν τοῦ Θεοῦ ἐν ἀνθρώπου μορφῇ, καταδέχῃ παμμακάριστε.

στιχ. οἱ οὐρανοὶ διηγοῦνται.

Ἐλπιζομένων ἡ πίστις, ἐστὶν ὑπόστασις. ἔλεγχός τε πραγμάτων, μηδόλως βλεπομένων, Παύλῳ διδασκάλῳ, εἴκεις σοφὲ ὁριζομένῳ θειότατα. ὅθεν σοφίας τρισύνθετον τῆς τριπλῆς, ἀνεδείχθης ὄντως ὄργανον·

Δόξα

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ...

Δόξα ἦχος β.

Τὸ ἱερὸν τῷ Θεῷ ἀνάθημα, καὶ θεόληπτον Ἱεροφάντορα, τῷ τῆς Θεότητος φωτὶ περιλαμφθέντα, καὶ φωςῆρα τῆς Ἐκκλησίας γενόμενον, καὶ τῇ ἐκχυθείσῃ ἐν τοῖς χείλεσιν αὐτοῦ χάριτι, τοῦ Πνεύματος τοῦ Παναγίου, τὰς τῶν ςωϊκῶν φιλοσόφων, πλεκτάνας τεχνολογικὰς, μωρίαν ἀπελέγξαντα, ὕμνοις ἐγκωμίων εὐφημήσωμεν· χαίροις ἰσαπόςολε, τῷ λόγῳ καὶ τῷ τρόπῳ· χαίροις ὁ τοῦ Παύλου μαθητὴς καὶ συνήγορος· χαίροις, ὁ νεύματι θεαρχίῳ ὑπὸ νεφῶν ἀρθεὶς μετὰ τῶν Ἀποςόλων· καὶ σὺν ἐκείνοις θεατὴς γενόμενος τῶν τελευταίων ἐπὶ τῇ τοῦ Θεοῦ Μητρὶ θείων μυςηρίων. καὶ ταύτην ἐξοδίοις ᾄσμασιν ὑμνολογήσας· μεθ' ἧς πρεσβεύεις, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι·

Ἀπολυτίκιον. ἦχος· ά.

Τοῦ λίθου σφραγισθέντος·

Τὸν Παύλου μαθητήν τε καὶ τῆς οἰκουμένης διδάσκαλον, τὸν τῶν Ἀθηνῶν Ἱεράρχην, καὶ κήρυκα τῆς πίςεως τὸν μέγαν καὶ πάνσοφον πιςοὶ, ἐκφάντορα τῶν μυςηρίων τοῦ Χριςοῦ, Ἱερόθεον ἐν ὕμνοις χρεωςικῶς ἀνευφημήσωμεν ἅπαντες· τὸν βλύσαντα ὡς νάματα ἡμῖν, διδάγματα ἔνθεα σαφῶς, καὶ Θεὸν τῷ βίῳ εὐφράναντα, τὸν μόνον πολυέλεον.

Δόξα, καὶ νῦν· Θεοτοκίον,

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι παρθένε τὸ χαῖρε·

Εἰς τὸν ὄρθρον· μετὰ τὴν ά: ςιχ:

Κάθισμα. ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη ἀληθῶς, πᾶσα ἡ πόλις Ἀθηνῶν, ἐν τοῖς Παύλου τοῖς



ἁπλοῖς, λόγοις καὶ ἰδιωτικοῖς, τίς οὖν ἐν τούτῳ μὴ ἐκπλαγείη ἀκουτισθεὶς, ἔνθα ἀττικὴ καλλιέπεια. ὅπου τὰ λαμπρὰ ἀνακτόρια, φιλοσοφίας ἵδρυται, ἐνταῦθα ἡ μωρία τοῦ κηρύγματος, τὴν νίκην φέρει, αἰχμαλωτίζει, πάντας καὶ σὲ Ἱερόθεε.

Δόξα. καὶ νῦν θεοτοκίον·

Η ἀμίαντος ἀμνάς, καὶ ἀκηλίδωτος παςάς, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, Ἡ θεοτόκος Μαριάμ, μετ' εὐφροσύνης εἰσάγεται παραδόξως, ἣν Ἄγγελοι θεοῦ· δορυφοροῦσι πιςῶς, καὶ πάντες ὁι πιςόι μακαριοῦσιν ἀεὶ, καὶ εὐχαρίςως ψάλλουσι ταύτῃ, ἀκαταπαύςως μεγάλῃ φωνῇ· ἡμῶν ἡ δόξα, καὶ σωτηρία, σὺ ὑπάρχεις Πανάμωμε.

Μετὰ τὴν β· ςιχ. Κάθισμα ὅμοιον.

Τί θαυμάζεις ἀττικέ; τί ἐκθαμβεῖσαι τὸ ἐν σοὶ; ὅτι ἄσοφος φησὶ, λόγῳ ἐνίκησε σοφούς, τοῦ πραττομένου τὴν δύναμιν οὐδόλως συμβάλλω· δύναμις Θεοῦ, ἡ ἐνεργοῦσά ἐςι, σοφία τε Θεοῦ ἀπεριόριςος, ἥτις μωροὺς κατήσχυνε σοφούς τε, καὶ ἰσχυροὺς ἀσθενέσιν ἐνίκησεν. ὧν εἷς ὑπῆρχες, σοφὸς καὶ ἄρχων, ἱεράρχα θεόληπτε.

Δόξα. καὶ νῦν. θεοτοκίον.

Κατεπλάγησαν ἁγνή, πάντες ἀγγέλλων ὁι χοροὶ, τὸ μυςήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν, πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτὸς ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ προαιώνιος, κὰι γαλουχεῖται σύμπασαν, ὁ τρέφων πνοὴν ἀφάτῳ χρηστότητι. καὶ σὲ ὡς ὄντως Θεοῦ μητέρα, εὐφημοῦντες δοξάζουσι.

Μετὰ τὸν πολυέλεον κάθισμα.

ἦχος πλ δ. Τὸ προςαχθὲν μυςικῶς.

Ὡς ἀπαρχήν σε ἱερὰν τοῦ θείου σπόρου, Εὐαγγελίου τοῦ Χριςοῦ τοῦ κηρύγματος, εὐφημοῦμεν Ἱερόθεε παμμάκαρ. Παῦλος γὰρ ὁ φυτεύσας ἐπιμελῶς, ἀλλά γε δὴ καὶ ποτίσας ὡς δαψιλῶς, τοῦ Θεοῦ σε αὐξάνον-



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑ

τος, ταῖς ἀποθήκαις οὐρανοῦ, ἐνέκλεισεν ἀοίδιμε, αἰωνίως σωζόμενον.

Δόξα ἦχος Γ.

Τὴν ὡραιότητα.

Θεὸς ὁ ἄγνωστος, παρ' Ἀθηναίοις τὸ πρίν, σοὶ πρώτῳ ἔγνωσαι διὰ τοῦ Παύλου σαφῶς, καὶ διὰ σοῦ δὲ τοῖς λοιποῖς, πάνσοφε Ἱεράρχα. ὅθεν καὶ γνωστοῦ ναός, ὁ ἀγνώστου καθίσαται, ἔνθα δ' ὁλοκαύτωσις, δεισιδαιμονίας προσήγετο, ἐνταῦθα ἤδη αἴνεσις ὄντως, τῷ ἀληθεῖ Θεῷ προσφέρεται·

Καὶ νῦν Θεοτοκίον.

Τοῦ τῇ κηδείᾳ σου, Ἁγνὴ ἐξάρχοντος, καὶ ἐκδημοῦσάν σε, Σεμνὴ προπέμποντος, πρὸς τὸν Υἱόν σου καὶ Θεόν, πρεσβείαις Ἱεροθέου, εἴκουσα ἱκέτευε, τὸν Υἱόν σου καὶ πλάστην μου. ἵλεων γενέσθαι μοι, ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ, ἀεὶ γὰρ παροργίζω ὁ τάλας, τὴν θείαν αὐτοῦ μακροθυμίαν.

Εἶτα οἱ Ἀναβαθμοί.

τὸ ά. Ἀντίφωνον τοῦ δ. ἤχου.

Προκείμενον ἦχος δ.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

τὸ πᾶσα πνοή.

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς. πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων.

Ζήτει. Νοεβρίου ς.

Ο Ν. Δόξα. ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν. ταῖς τῆς Θεοτόκου.

Ἐλε-



Ἐλέησόν με ὁ Θεός. καὶ τὸ στιχηρόν ἦχος πλ β.

Ὅτε ἡ μετάστασις τοῦ ἀχράντου σκήνους, τῆς Μητρὸς τοῦ Θεοῦ κυτρεπίζετο, τότε διὰ νεφέλης καὶ αὐτὸς συμπαρῆς Ἱεράρχα Ἱερόθεε. ἦν καὶ ὅλος ἐκδημῶν, καὶ ὅλος σεαυτοῦ ἐξιστάμενος, θεολήπτοις ὑμνολογίαις, πρὸς τὸν ἐξ αὐτῆς ἀφράστως γεννηθέντα προέπεμψας, τὸν Θεὸν καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τοῦ Εἱρμοῦ εἰς ς.
καὶ τοῦ μηναίου εἰς δ.

Ἕτερος Κανὼν οὗ ἡ ἀκροστιχίς.

Ἱεροθέῳ ᾆσμα σὺν πόθῳ δεύτερον μέλπω.

ἦχος πλ β. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ἱμειρομένῳ προσάδειν σοὶ τῷ σοφῷ, ὡς ἐν ζόφῳ ὄντι μοι τῆς κακίας καὶ παθῶν, φωτισμὸν καὶ ἔλαμψιν διό, τῷ φωτὶ παρεστηκὼς ἐπικατάπεμψον·

Εὖγε βοῶ σοι Παμμάκαρ, εὖγε τῆς σῆς, νουνεχοῦς φρονήσεως καὶ συνέσεως πολλῆς, τῆς μωρᾶς γὰρ λίαν σὺ σοφῶς, προκρίνας τὴν ἀληθῆ σοφίαν τεθαυμάστωσαι·

Ῥημάτων Παύλου τοῦ θείου ἀκουσθείς, ἀδιστάκτως ἔδραμες, πρὸς Θεὸν τὸν ἀληθῆ, αὐγασθεὶς μακάριε τὸν νοῦν, ταῖς τοῦ πνεύματος αὐγαῖς, αἷς νῦν με καταλάμπρυνον,

Θεοτοκίον.

Ὅλος δὴ πλήρης ὑπάρχων ὁ τοῦ Θεοῦ Θεὸς λόγος Πάναγνε, ἀκενώτως ἐν τῇ σῇ κενοῦται, καὶ ἅπαντες ἡμεῖς τοῦ πληρώματος αὐτοῦ κόρη μετέσχομεν.

Ὠδὴ γ. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Θεὸς ὁ ἄγνωστος ἐκ σοῦ, ἔγνωσαι εἰσηγήσει, θεοκήρυκος Παύλου, καὶ πιστευ-

πιςεύεται δμοῦ, καὶ κηρύττεται πανταχοῦ, εὐφραδείᾳ ὅσῃ ςωμυλίᾳ τε

Ἐτέθης λύχνος φαεινὸς, ἐπί γε τῆς λυχνίας, Ἱερόθεε μάκαρ, Ἐκκλησίας τῶν πιςῶν, καταφωτίζων αὐτοὺς, ταῖς σοφαῖς ἀεὶ διδασκαλίαις σου.

Ὡς ἑωσφόρος πρωϊνὸς, ἐξανέτειλε κόσμῳ, ἡ πανένδοξος μνήμη Ἱεράρχου τοῦ σοφοῦ, καταλαμπρύνουσα πιςοὺς, τοὺς αὐτὴν πιςῶς γεραίροντας.

Θεοτοκίον.

Ἁγνὴ Μαρία καὶ σεμνὴ, μακαρία ἐγένου, ὡς μακάριον μόνον, συλλαβοῦσα ἐν γαςρὶ, Θεὸν τὸν πάντα δρακὶ, τῇ ἰσχύει τῇ αὐτοῦ συνέχοντα.

Κάθισμα. ἦχος γ. Θείας πίςεως.

Πᾶσαν ἤρδευσας τὴν Οἰκουμένην, ὥσπερ νάμασι ταῖς διδαχαῖς σου, τῆς εὐσεβείας τὰ δόγματα Ἱερόθεε. ἡ τῆς ζωῆς γὰρ πηγὴ, ὁ Χριςὸς ἐν σοὶ ἐπανεπαύσατο. Πάτερ ὅσιε αὐτὸν ἱκέτευε, παῤῥησίαν κεκτημένος ἄνωθεν, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν Θεοτοκίον.

Θείας φύσεως οὐκ ἐχωρίσθη, σὰρξ γενόμενος ἐν τῇ γαςρί σου. ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον Μητέρα Παρθένον σε, ὡς πρὸ τοῦ τόκου φυλάξας Πανάμωμον, μόνος Κύριος. αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ᾠδὴ δ. Χριςός μου δύναμις.

Σοφίας ἔλλαμψις, περιεχύθη σοι, οὐρανίου παμμάκαρ, ἣ ἐλλαμφθεὶς πᾶσαν τὴν ὑφήλιον. καταλαμπρύνεις ἀληθῶς, ταῖς λαμπραῖς θεηγορίαις σου.

Μωρὸν Χριςοῦ μου ὁ Σταυρὸς, σοφώτερον τῶν ἀνθρώπων δι᾽ αὐτοῦ

γὰρ



γὰρ ἐμφανῶς, σοφοὶ καταβέβληνται, καὶ σωτηρία τῷ κόσμῳ, καὶ ἀνάςασις δεδώρηται.

Ἀλλοῖος γέγονας ὦ Ἱερόθεε. τὸν Θεὸν γὰρ τὸν ἕνα σὺ σεβασθεὶς, τὸν ὄλον ἀλήθειαν, τοὺς ψευδωνύμους καὶ πολλοὺς θεοὺς κατεμυκτήρισας.

Θεοτοκίον.

Σκοτοῦται ἅπαντα, βροτῶν διάνοια, ἐρευνώντων Παρθένε σὸν τοκετόν. ὃν γὰρ προεώρακεν, ἐν θυέλλῃ Μωϋσῆς, ἐν ἀγκάλαις σου ἐβάςασας.

ᾠδὴ. ε. Τῷ θείῳ φέγγει σου.

Ὑποχωροῦσι τὰ ἰσχυρὰ, τὰ τῆς οἰκουμένης καὶ σοφὰ, ὦ τοῦ ςαυροῦ τῆς δυνάμεως! τοῖς ἀσόφοις ὄντως τὸν Χριςὸν ὡς λόγον Θεοῦ, ἐν ἀσθενείᾳ τοῖς πᾶσι καταγγέλλουσι.

Νεκρώσας ἅπαντα τὰ ἐν γῇ, καὶ τῶν χαμαιζήλων μηδαμῶς, πάτερ μηδενὸς προσαπτόμενος. ὑπερήρθης ἄνω σοφὲ, εἰς γνῶσιν Θεοῦ τοῦ ὄντος, ὃν θεηγορίαις ἐκήρυξας.

Πόθῳ τῷ θείῳ σὺ πυρσευθεὶς, καταφλεγομένῃ ἐν ψυχῇ, τοῦτον ἐζήτησας ἅγιε, οὗ τῇ ἀγαπήσει προσέσχες ἀεὶ, ὅθεν ἀκούεις, παμμάκαρ καὶ θεόληπτος.

Θεοτοκίον.

Ὁ ἐν τοῖς κόλποις τοῖς τοῦ πατρὸς, ἐπὶ τὸν σὸν κόλπον ὦ Ἁγνὴ, βαβαὶ σαρκοφόρος κάθηται, ὡς ἐπὶ θρόνου ὄντως ἁγίου αὐτοῦ, ἀκατάληπτον τὸ θαυμάσιον κόρη πέφυκε.

ᾠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Θεολόγος ἄριςος, καθωράθης ἀληθῶς, θεολογῶν πανάριςα μυςηρίου τὴν γνῶσιν τοῦ δι᾽ ἡμᾶς, ἀῤῥήτως ἐκλάμψαντος, ἐπ᾽ αἰσχάτων τῶν

χρόνων

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠ

χρόνων Ἱερόθεε.

Ωράθη ὡς ἄνθρωπος, καταβὰς ἐπὶ τῆς γῆς, υἱός Θεοῦ ὁ ἄχρονος; καὶ ἐν χρόνῳ ἐγένετο καθ ἡμᾶς, ἣν δὴ συγκατάβασιν, ὑψηγορίαις τῷ κόσμῳ ἀνεκήρυξας.

Δι ἄμετρον ἔλεος, ἀνυψώθη ἐν ςαυρῷ, ὁ ἀπαθὴς θεότητι, ὁ τοῦ Θεοῦ λόγος τε δὴ καὶ Θεός, ὃ καὶ σέ ἀνείλκυσε πρὸς ἑαυτὸν παμμάκαρ Ἱερόθεε·

Θεοτοκίον.

Ἐκ ῥίζης βλαςήσασα, ὢ Μαρία Ἰεσσαί, τόν φυτουργόν προήνεγκες τόν τοῦ κόσμου ξηράναντα τῷ ςαυρῷ, τῷ θείῳ φυτῷ αὐτοῦ, παραφυάδας καὶ ὅλον ἡμερώταντα.

Κοντάκιον· ἦχος πλ δ'.

Τῇ ὑπερμάχῳ ςρατηγῷ.

Τόν Ἱεράρχην Ἀθηνῶν ἀνευφημοῦμεν σε, ὡς μυηθέντες διὰ σοῦ ξένα καὶ ἄῤῥητα. ἀνεδείχθης γὰρ θεόληπτος ὑμνολόγος. ἀλλὰ πρέσβευε παμμάκαρ Ἱερόθεε, ἐκ παντοίων συμπτωμάτων ἡμᾶς ῥύεσθαι· ἵνα κράζωμεν, χαίροις πάτερ θεόσοφε.

Οἶκος.

Τοῦ Ἀρειοπάγου ἧς βουλευτής, πολύς ὢν τὴν θύραθεν σοφίαν, ἅμα δέ καὶ σύνεσιν Ἱερόθεε. Παύλῳ δέ τῷ θεσπεσίῳ διδασκάλῳ μαθητευθείς, πολλῷ ἄριςος σεαυτοῦ τὴν οὐράνιον ἀνεδείχθης σοφίαν. διὸ καὶ παρ ἡμῶν ἀκούεις· χαῖρε τὸ τῶν Ἀθηνῶν ἐγκαλλώπισμα,
χαῖρε τὸ ἐκκλησίας σεμνολόγημα.
χαῖρε ὁ τὰ πρῶτα φέρων τῆς βουλῆς·
Χαῖρε ὁ θειοτέρας ἀπολαύσας τιμῆς.
Χαῖρε ὁ καὶ ἀπὸ κτίσεως τὸν θεὸν πρὶν καθορῶν.

Χαῖρε



Χαῖρε ὁ καὶ διὰ τῆς πίςεως αὐτὸν καταμαθών·
Χαῖρε τοῦ Παύλου μαθητά τε καὶ ὁμότροπε.
Χαῖρε λαοῦ ποιμὴν καὶ ἱεράρχα ἄξιε.
Χαῖρε κηδευτὰ τῆς Θεοτόκου θεόληπτε.
Χαῖρε τῶν Ἀποςόλων ἀληθῶς συνόμιλε.
χαῖρε ὅτι εὐηρέςησας Θεῷ,
χαῖρε ὅτι συμβασιλεύεις αὐτῷ.
χαῖρε πάτερ θεόσοφε

Τῷ αὐτῷ μηνὶ Δ'· Τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Ἱεροθέου Ἐπισκόπου Ἀθηνῶν·

ςίχ· Ἱερόθεος ἱερώθη σοι πάλαι.
Νῦν δ' ἂυ μεταςὰς, καὶ συνανήφθη λόγε.
Τοῖ σῆμα κάλυψε τετάρτῃ Ἱερόθεον.

Ταῖς αὐτοῦ Ἁγίαις πρεσβείαις.

ᾠδὴ Ζ'· Δροσοβόλον μὲν τὴν κάμινον.

Ὑπομένων μὲν ὑπέμεινας, ἀνάςασιν εὐαγγελιζομένῳ σαφῶς, ἀποςόλῳ δὴ θεοπνεύςῳ, καὶ τὸν Ἰησοῦν. παρ οὗ καὶ ἐξέμαθες βοῶν, εὐλογητός εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Τοῖς παντέρπνοις Ἱερόσοφε ῥήμασι, Διονυσίου ὠσίν, ἃ δὴ προεδιδάχθης ἐνδιδάξας καὶ αὐτὸν, ὡσαύτως κατέπεισας βοῶν, εὐλογητός εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

Εὐφροσύνης ἡμῖν πρόξενος, ἐγένετο ἅγιε ἡ μνήμη ἡ σὴ, ἐν ᾗ συμφώνως ὡς ἱεροφάντορα Θεοῦ, ἐν ὕμνοις σε ἅπαντες πιςοί, ἀνευφημοῦμεν εὐλαβῶς πανηγυρίζοντες.

Θεοτοκίον.

Ραθυμίᾳ με κρατούμενον διέγειρον, πρὸς ἐργασίαν ἄχραντε θείων πρά-

πράξεων, ἐνισχύουσά με κατ᾽ ἐχθρῶν, ἀεὶ πολεμούντων με δεινῶς, καὶ ἐναντίοις λογισμοῖς δελεαζόμενον

ᾠδὴ ή. Ἐκ φλογὸς τοῖς ὁσίοις·

Ὁλικῶς ἀγαπήσας σὺ τὸ ἀκρότατον ὀρεκτῶν, ἐγκρατείᾳ πάτερ ἐκέχρησο· ἅπαντα γὰρ σὺ ὑπερεῖδες πανόλβιε, οὗ καὶ ἀπολάυεις, εἰς πάντας τοὺς αἰῶνας·

Δὶς

Νεουργεῖσαι ἐκ πλάνης πρὸς τὴν ἀλήθειαν, μετελθὼν ὡς ἐχέφρων ὦ Ἱερόθεε· εἴδωλα γὰρ ἀργυροχρύσου ἔλιπες, καὶ Θεῷ προσῆλθες, τῷ ζῶντι εἰς αἰῶνας.

Θεοτοκίον·

Μὴ μεςήσῃς ἐν ὥρᾳ δέσποτα κρίσεως, μετὰ τῶν κατακρίτων ὄντα κατάκριτον. ἀλλὰ τὸν πικρὸν ςεναγμόν μου δεξάμενος, σῶσόν με πρεσβείαις, τῆς σῆς μητρὸς οἰκτίρμον

ᾠδὴ θ᾽· Θεὸν ἀνθρώποις

Ἐν σοὶ ἡ χάρις τοῦ πνεύματος, διηνεκῶς οἰκήσασα τοῖς πέρασιν ἔδειξεν, ὑφηγητὴν πανάριςον δογμάτων Θεοῦ, τούτων δ᾽ ὑφηγορίαις, πιςοὺς εὐφραίνοντα, τοὺς ἐν ὑμνῳδίαις ἱεραῖς σε μεγαλύνοντας.

Λαμπρὸς τῷ βίῳ καὶ κατορθώμασιν, ὡς γεγονὼς ἐν γῇ ἀποςόλοις συνεφίςασαι, τῇ θείᾳ κοιμήσει τῆς μητρὸς τοῦ Θεοῦ, ἣν ἱερολογίαις πάτερ θεόληπτε, πρὸς τὸν τεχθέντα ἐξ αὐτῆς παμμακάριςε προέπεμψας.

Παρεῖναι ἔδει ὦ Ἱερόθεε, σοῦ τὴν αὐδὴν τὴν πᾶσαν ἀκοὴν καθηδύνουσαν, καὶ ἐμοὶ τῷ ἀναύδῳ τε καὶ πᾶσιν ἰσχνῷ, μέλπειν σ᾽ ἐπιχειροῦντι· ἀλλ᾽ ἔπιδε ἅγιε τοῖς ἐξ εὐμενείας κἂν μικροῖς προσφερομένοις σοι·





Θεοτοκίον.

Ὡς σὺ οὐδέποτε κεχαρίτωται, ἐκ γενεῶν ἀρχαίων οὐδεμία πανάμωμε· σὺ γὰρ μόνη τὴν πασῶν ἀσύγκριτον ἔσχες ἁγιωσύνην καὶ καθαρότητα, ὅθεν ὑπεδέξω, τὸν Θεὸν ἐν σοὶ σαρκούμενον.

Ἐξαποςειλάριον.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Ὁ τοὺς σοφοὺς δρασσόμενος, τῇ αὐτῶν πανουργίᾳ, μόνος Θεὸς ὁ πάνσοφος, καὶ σὲ αὐτὸν ἐδράξατο, διὰ τῆς Παύλου σαγήνης. ἔγνως γὰρ ὡς μωρία, παρὰ Θεῷ σαφῶς ἐςιν, ἡ τοῦ κόσμου σοφία· διὸ μωρός, ἐν τῷ κόσμῳ γέγονας, ἵνα γένῃ, παρὰ Θεῷ πανόλβιε, σοφὸς ὡς καὶ ἐγένου·

Ἕτερον· Ὁ οὐρανὸν τοῖς ἄςροις.

Ὅτε ἡ μήτηρ τοῦ λόγου, πρὸς τὰς ἐκεῖ καταπαύσεις, μεταναςεύουσα ὤφθη, σὺν τοῖς λοιποῖς Ἀποςόλοις, σὺ Ἱερόθεε ὕμνοις, ἐπέςης ταύτην προπέμπων·

Θεοτοκίον·

Θεοκυῆτορ Μαρία, τῶν γηγενῶν εὐκληρία, ἁμαρτωλῶν προςασία, χριςιανῶν ἐλπὶς μόνη, καὶ κοσμικὴ προμηθία, ῥῦσαι πυρὸς ἀπειλῆς με.

Εἰς τοὺς αἴνους. πλ β᾽.

Ὅλην ἀποθέμενοι.

Ὄντως σκεῦος ἔντιμον, καὶ δεκτικὸν τῶν λογίων, εὑρών σε τοῦ πνεύματος, Παῦλος ὁ ἀπόςολος ἐξηγήσατο, τὴν Θεοῦ ἄρρητον, πρὸς ἡμᾶς ἀγάπην. τὴν Χριςοῦ τε συγκατάβασιν, ἐν γῇ τὴν ἄφατον, καὶ οἰκονομίαν τὴν πάνσοφον· εἰς πάντα δὲ τὰ πέρατα, ταῦτα καὶ αὐτὸς ἀνεκήρυξας, μεγαλοπρεπείᾳ, συνθήκῃ τ᾽ ὀνομάτων ὡς κομψῇ, καὶ ἀκριβείᾳ μεθόδῳ τε, πάτερ Ἱερόθεε.

Ὅλον ἀνυψώσας σου, εἰς θεωρίαν θεόφρον, τὸν νοῦν ὅλος γέγονας, ἐνθεοειδέστατος καὶ θεόληπτος, τὸν Υἱὸν ἔνθεν δή, τὸν αὐτὸν καὶ λόγον, καὶ τὸ πνεῦμα δέ καὶ πρόβλημα, τ' αὐτὸ ἀπέδειξας, κύκλῳ ἑξαγώνῳ πανάριστα· πατέρα δὲ ὡς αἴτιον, διαγράφων τούτων ὀρθώτατα· τοῦ μὲν ὡς πατέρα, τοῦ δὲ ὡς προβολέα ἐμφανῶς, ᾧ δὴ τοῖς πᾶσιν ἐνδείκνυσαι, σὴν σοφὲ ἐπίστασιν.

Ὅλην ἀναθέμενος, εἰς οὐρανὸν τὴν καρδίαν, τῷ Θεῷ ἀοίδιμε, σεαυτὸν σοφώτατα καθιέρωσας. τῶν ἐν γῇ πάντων γάρ, ὀρεκτῶν ἅπασαν, ἐπιμόνως πάτερ ἤσκησας, σοφὲ ἐγκράτειαν, εὐαγγελικῶς ἀπωσάμενος, ζωῶδες τε καὶ μάταιον, δόγμα Ἐπικούρου τοῦ ἄνοος, μόνην δὲ βεβαίαν, καὶ πρέπουσαν ἀνθρώπῳ ἀληθῶς, χαρὰν συνεῖναι ἡγούμενος, Θεῷ τῷ ποιήσαντι.

Δόξα· ἦχος πλ. α'.

Μακάριος σὺ ἀληθῶς Ἱερόθεε, Ἱεράρχα Ἀθηνῶν, καὶ πασῶν τῶν ἐκκλησιῶν διδάσκαλε· ὅτι τὸν μόνον μακάριον ἠγάπησας Θεὸν ἀληθῆ, καὶ τούτου κῆρυξ ἐγένου, τὰ πάντα καταλιπών, καὶ σκύβαλα ἡγησάμενος, ὑπὲρ τῆς Χριστοῦ ἀγαπήσεως. διὸ καὶ μονὴν ἐν σοί, ἡ μακαρία τριὰς ἐποιήσατο, ἧς τῇ χάριτι, καὶ πρὸ τῆς τελειοποιήσεως, ἐλλαμφθεὶς ὡς εἰκός, τὸν πάσχοντα ἑκουσίως, ὑπὲρ ἡμῶν ἐπὶ σταυροῦ Χριστόν, προέγνως, καὶ προεκήρυξας, Θεοῦ εἶναι Υἱὸν ὡς ἀληθῶς, ὡς τὴν κτίσιν τούτῳ συμπάσχουσαν. διὸ καὶ ἡμᾶς, τῶν ποικίλων παθῶν ἐλευθέρωσον, ταῖς πρεσβείαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε παρθένε. καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος ἄρρηκτον· τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη.

Εἰς



Εἰς τὴν λειτουργίαν τυπικά· καὶ ἐκ τοῦ Κανόνος. ᾠδὴ γ'· καὶ ς'.

Μεγαλυνάριον.

Τὸ τοῦ Παύλου θήραμα τὸ τερπνόν, τῇ ἄνω τραπέζῃ τὸ ἀξίως παρατεθέν, τὸ τοὺς οὐρανίους εὐφράναν δαιτυμόνας Ἱερόθεον τὸν πάνυ, ὕμνοις τιμήσωμεν.

Ἕτερον,

Ἐγκαυχᾶται πόλις ἡ Ἀθηνῶν, ὡς λαχοῦσα Πάτερ, σοῦ ποιμένος καὶ ὁδηγοῦ, ἐγκαυχῶνται οὕτω, καὶ πάντες οἱ τυχόντες, σοὶ ὁμωνυμῆσαι, οὓς διαφύλαττε.

ΤΕΛΟΣ·

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

# ΕΥΧΑΙ ΔΙΑΦΟΡΟΙ.

## ΠΑΝΥ ΩΡΑΙΑΙ.

ἐξομολογητικαί τε καὶ κατανυκτικαί, ὑπὸ διαφόρων συντεθεῖσαι, καὶ λεγόμεναι πρὸ τοῦ ὑπνῶσαι·

### ΕΥΧΗ Α'. ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἱκετήριος, καὶ κατανυκτική.

Ο Θεὸς ὁ Θεός μου, ὃν τὰ Χερουβίμ, καὶ πᾶσαι αἱ ἄβυσσοι τρέμουσι. τὸ τῆς ἀγαθότητος ἀνεξιχνίαστον πέλαγος. ὁ ἀεὶ ἐπακούων τῶν ἐν συντετριμμένῃ καρδίᾳ ἐπικαλουμένων σε. ὁ τὴν νύκτα ποιήσας πρὸς ἀνάπαυσιν, καὶ σωτηρίαν τοῦ σοῦ πλάσματος· ὁ καταξιώσας με τὸν ταλαίπωρον τῆς ἡμέρας φθάσαι τὸ τέλος· ὁ εἰπών, πρὶν ἢ ἐπικαλέσῃς με πάρειμι, καὶ ἔτι λαλοῦντός σου. ἐλθὲ καὶ νῦν, Δέσποτα μέχρις ἡμῶν τῇ ἀοράτῳ σου παρουσίᾳ, ἐκ τῶν πατρικῶν κόλπων τοῦ σοῦ Γεννήτορος, ὅθεν οὐκ ἐχωρίσθης ποτέ, καὶ κλῖνον τὸ οὖς σου πρὸς τὴν ἡμετέραν ἀσθένειαν, Κύριε ὁ Θεός, ὁ ὑπερβλύζων ἔλεος καὶ χρηστότητα· ὁ ἀεί με προσκαλούμενος, τὸν ἀεί σε ἀποστρεφόμενον, καὶ παρὰ σοῦ εὐεργετούμενον, ἐξαπόστειλον ἐν ἐμοὶ τῷ ἀθλίῳ κατάνυξιν. καὶ δεῖξον, ὡς ποτὲ ἐν ἐρήμῳ πέτραν, τὴν λιθώδη καὶ πεπωρωμένην μου καρδίαν, δακρύων φέρειν πηγάς. Ἰδοὺ γάρ, Δέσποτα, μετὰ φόβου, καὶ τρόμου σοὶ προσπίπτω, καὶ δέομαι· Κύριε Κύριε, συγχώρησόν μοι τὰ δι' ὅλης τῆς ἡμέρας, καὶ τοῦ βίου μου παντὸς ἐν ἀγνοίᾳ, καὶ γνώσει, καὶ ἐνθυμήσει μου πταίσματα. οἶδα γάρ, ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου Κύριε, καὶ πλεῖστα φιλόψυχε, καὶ διὰ τοῦτο πρὸς δέησιν ἀπετόλμησα. οὐκ ἐποίησά σου

κἂν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

κἂν μίαν ὥραν, θέλημα, οὐδὲ ἓν ἀγαθὸν, Κύριε. παντὸς γὰρ ἀν-
θρώπου θέλημα, καὶ ἐνθύμημα, ὅλον πονηρόν. ὅλον βδελυκτὸν, ὅλον
βιωτικόν. Πῶς γὰρ δύναται χοῦς καὶ πηλὸς, ὁ καὶ μολύβδου βαρύτε-
ρος, πετάσαι καὶ ἀνελθεῖν εἰς τὸ ὕψος τοῦ Οὐρανοῦ, κἀκεῖθέν τι
μαθεῖν ἀγαθόν;

Βλέψον, Δέσποτα, σοὶ ἀνατίθημι πᾶσάν μου ἀσθένειαν. ἱλάσθητι;
ἐλέησον· σοὶ γὰρ προσέρχομαι αὐτοκατάκριτος, καὶ ἀναπολόγητος.
σοὶ ὡς ἀπρόσωπος, καὶ ἀπερίςατος, τὸν αὐχένα κλίνω· καὶ εἰς γῆν
νεύω τὸ πρόσωπον. ἐρυθριῶ, καὶ φρίττω τὸν οὐρανὸν ῥυπαροῖς θεά-
σασθαι ὀφθαλμοῖς. Σοὶ μὲν κλίνω γόνυ καρδίας καὶ σώματος. χεῖ-
ρας δὲ αἴρω σαρκὸς μετὰ δακρύων, καὶ ςεναγμῶν κατανύξεως. δέο-
μαι Κύριε Κύριε, βοήθει μοι, καὶ τοῦ πυρὸς τοῦ ἀσβέςου με λύτρωσαι.
Ἔθεντο γάρ με τὸν ἄθλιον ἐπίχαρμα οἱ δαίμονες, κατ' ἐμοῦ ἀναιδῶς
ἐπιβαίνοντες· Διὰ τοῦτο Κύριε Κύριε, τάχυνον. σπεῦσον. βοήθησον·
ἀντιλαβοῦ. καὶ τῷ φοβερῷ σου κριτηρίῳ ἀκατάκριτον παραςῆναί με
καταξίωσον. Καὶ μὴ νικήσωσιν αἱ ὑπὲρ ἄμμον θαλάσσης ἁμαρτίαι μου, ὑπε-
ράγαθε, καὶ μακρόθυμε Δέσποτα, τὴν ἄβυσσον τῆς φιλανθρωπίας σου.
μὴ καταλαβέτωσαν ἐν τῇ νυκτὶ ταύτῃ τὴν ἐλεεινήν μου ψυχὴν, αἱ
δαιμόνων φαντασίαι, ἃς οὐ προσδοκῶ, καὶ φόβοι νυκτερινοὶ, καὶ πρᾶγ-
μα ἐν σκότει διαπορευόμενον. μὴ νυςάξῃ, μηδὲ ὑπνώσῃ ὁ φυλάσσων
με Ἄγγελος, μηδέ τι τῶν ῥυπαρῶν τῆς ἡμέρας, καὶ τῶν μεθ' ἡμέραν,
ἡ νὺξ ἐλέγξῃ. ἀλλὰ Κύριε Κύριε, τῷ ἀςέκτῳ, καὶ παντοδυνάμῳ φω-
τὶ τῆς σῆς Θεότητος ὁ νοῦς ἐλλαμπόμενος, καὶ σώματος δίχα σοὶ, Θεὲ,
προσομιλείτω, ἀνυςάκτῳ ὄμματι καὶ ἀΰπνῳ.

Χάρισαί μοι τὴν τῆς νυκτὸς ἀνάπαυσιν, ὡς ἐν ἡμέρᾳ διελθεῖν με, καὶ
ἐν ἀγάπῃ τῆς σῆς ἀνεκφράςου Θεότητος· καὶ δὸς τοῖς βλεφάροις μου
ἐλαφρὸν ὕπνον ὡς μηδὲ τὴν γλῶσσαν, τῶν ὑμνῳδιῶν τὸ ὄργανον, ἐπὶ
πολὺ νεκροῦσθαι, μηδ' αὐτὸ τὸ φωτεινὸν πλάσμα σου ἡσυχάζειν· καὶ
ἀνάςησόν με τοῦ ὕπνου ἐν ὥραις εὐθύτητος, πρός τε τὰς νυκτερινὰς
καὶ ὀρθρινὰς ὑμνῳδίας, τοῦ δοξάζειν Σὲ τὸ ἀπρόσιτον φῶς, μετὰ τῶν
οὐρα



οὐρανίων Δυνάμεων, καὶ Ἀγγέλων σου· Ἄκουσον Κύριε, καρδίας βοώ-
σης, καὶ μὴ προσχῇς τοῖς φαύλοις μου ἔργοις. ἀλλ' ἐπίβλεψον ἐπὶ
τὴν ὀδύνην τῆς ψυχῆς μου, καὶ τάχυνον τοῦ ἰάσασθαί με χάριν τῆς
φιλανθρωπίας σου, καὶ ῥῦσαί με ἀπὸ τῶν πονηρῶν ἔργων μου. καὶ μὴ
ἀντιμετρήσῃς μοι, μηδὲ θελήσῃς ἀποδοῦναί μοι ἄξια ὧν ἔπραξα. ἵνα μὴ
τελείως ἀπόλωμαι.

Ἄκουσον Κύριε, ἐν ἀπογνώσει μου ὄντος· καὶ μὴ ἐάσῃς με, δέομαι,
διὰ τὰς ὑπὲρ ἄμμον θαλάσσης ἁμαρτίας μου, καθ' ὕπνους ἐν ἀτόποις
ἐννοίαις κλέπτεσθαι. ἀλλ' ἀνακάλεσαί με Δέσποτα, τὸν αἰχμάλωτον,
καὶ κατεχόμενον ὑπὸ τῶν ἀτόπων πράξεων, καὶ ὡς ὑπὸ ἁλύσεων φθεγγό-
μενον. Σὺ γὰρ ἐπίςασαι λύειν πεπεδημένους, καὶ ἰᾶσθαι τὰ ἄδηλα τραύ-
ματα, ἃ Σὺ μόνος οἶδας ὁ τῶν κρυπτῶν γνώςης. ἐπιφάνηθί μοι δεινῶς
καταπεπτωκότι, ὁ ταχὺς ἐν ἐλέει, καὶ βραδὺς ἐν κολάσει. καὶ τῇ
Σῇ εὐσπλαγχνίᾳ θέλησον ὀρέξαι μοι χεῖρα, καὶ ἀναςῆσαί με ἐκ τοῦ βό-
θρου τῶν ἀνομιῶν μου. Σὺ γὰρ μόνος ὑπάρχεις ὁ Θεὸς ἡμῶν, ὁ μὴ τερ-
πόμενος ἐπὶ ἀπωλείᾳ ἁμαρτωλοῦ. ὁ μὴ ἀποςρεφόμενος πρόσωπον ἐν δά-
κρυσιν ἐν σοὶ ἀτενίζον. Εἰσάκουσον Κύριε, φωνῆς τοῦ δούλου σου βο-
ῶντος πρὸς Σέ. Ἐπίφανον τὸ φῶς σου, τὸ εἰς ἐμὲ ἐσβεσμένον. ἀπό-
ςειλον τὴν τοῦ ἁγίου Πνεύματος ἰκμάδα, καὶ χάρισαι μικρὰν προθε-
σμίαν· ἵνα ἀνασφήλω, ἐμαυτὸν ἀπογνούς. " ςρέψον μοι Κύριε, τὸν
κοπετὸν εἰς χαρὰν. διάῤῥηξον τὸν σάκκον μου, καὶ περίζωσόν με εὐ-
φροσύνην. " (α) καὶ δὸς μοι ἀναπαύσασθαι τῶν ἑσπερινῶν μου ἔργων,
καὶ τύχοιμι ἀναπαύσεως πρωϊνῆς, ὥσπερ οἱ ἐκλεκτοί σου Κύριε, ὧν ἀπέ-
δρα λύπη, καὶ ςεναγμός. Καὶ ἀνοιγήτω μοι ἡ θύρα τῆς βασιλείας σου,
ἵνα εἰσελθὼν ἐν αὐτῇ μετὰ τῶν ἀπολαυόντων τοῦ φωτὸς τοῦ προσώπου
σου, τύχω αἰωνίου ζωῆς.

Ναὶ Δέσποτα Ἰησοῦ Χριςὲ, βοήθει μοι. καὶ μὴ ἐάσῃς με ἀπὸ τοῦ νῦν
ἁμαρτῆσαι εἰς σὲ, καὶ ἐξακολουθῆσαι τῷ θελήματί μου. μὴ ἐάσῃς με
ἀπολέσθαι ταῖς ἁμαρτίαις μου. ἀλλ' οἰκτείρησον τὸ πλάσμα σου, καὶ
μὴ παρίδῃς με, ὅτι ἀσθενής εἰμι· μηδὲ ἐγκαταλίπῃς με, ὅτι πρός σὲ

(α) ψαλμ: κθ' 19.

κατέ-

κατέφυγον. „Ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι." (α) ἐνώπιόν σου εἰσὶ πάντες οἱ θλίβοντές με, καὶ οὐκ ἔστι μοι καταφυγή, εἰμὴ πρὸς σὲ Δέσποτα Κύριε. Σῶσόν με ἕνεκεν τῶν οἰκτιρμῶν σου καὶ αἰσχυνθήτωσαν πάντες οἱ ἐπανιστάμενοι ἐπ᾽ ἐμέ, καὶ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξολοθρεῦσαι αὐτήν. Κύριε ὁ Θεός μου, μνήσθητίμου τοῦ ἁμαρτωλοῦ, καὶ ἀχρείου δούλου σου ἐν τῷ ἐπικαλεῖσθαί με τὸ ἅγιον, καὶ προσκυνητὸν ὄνομά σου. „καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου." (β) καὶ ἀξίωσόν με ἀγαπᾶν, καὶ φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας μου, καὶ ποιεῖν ἐν πᾶσι τὸ θέλημάσου. ὅτι οὐκ ἔστιν ὅμοιός σοι ἐν Θεοῖς Κύριε, δυνατὸς ἐν ἰσχύϊ, καὶ ἀγαθὸς ἐν ἐλέει, εἰς τὸ βοηθεῖν, καὶ παρακαλεῖν, καὶ σώζειν πάντας τοὺς ἐλπίζοντας εἰς τὸ ὄνομάσου τὸ ἅγιον·

Ναί, Κύριε Κύριε, ὁ ὑπερβαίνων τὰ ἀνθρώπινα πταίσματα, καὶ καλύπτων πλήθη ἁμαρτιῶν. ὁ μὴ ποιήσας ἡμῖν κατὰ τὰς ἁμαρτίας ἡμῶν, μηδὲ ἀνταποδιδοὺς κατὰ τὰς ἀνομίας ἡμῶν. ἀξίωσόν με ἐν πάσῃ νυκτί, καὶ ἡμέρᾳ, καὶ πάσῃ μου τῇ ἀναπνοῇ, τὸν πάσης κολάσεως ἔνοχον, ὡς ὄνταμε πάσαις ἁμαρτίαις ὑπεύθυνον· τό, τε φοβερὸν τοῦ θανάτου μυστήριον, καὶ τὴν πρὸς ἡμᾶς τοὺς ἁμαρτωλοὺς ἀνυπόστατον ἀπειλὴν καὶ ὀργήν σου, καὶ τὴν φρικτὴν καὶ δικαίανσου ἀπόφασιν, εἰς τὸ τῆς γεέννης με πῦρ δικαίως ἐκπέμπουσαν, ἔχειν ἐν τῇ καρδίᾳ μου ἀεὶ ἀνεπίληστα· καὶ γυμνὸν καὶ τετραχηλισμένον ὥσπερ τῷ φοβερῷ σου κριτηρίῳ παρίστασθαι, καὶ τὴν ἐκεῖθεν ἀπόφασιν ἐκδέχεσθαι. ἵνα ἐντεῦθεν καθηλώσας τὰς σάρκας μου, καὶ καθαρισθεὶς νοῦν, καὶ ψυχήν, καὶ καρδίαν, ἵλεων εὕρωσε ἐν ὥρᾳ τοῦ θανάτου, καὶ τῆς κρίσεως, τῶν τῆς σαρκὸς ἐσόπτρων διαρραγέντων. διὰ τὴν ὑπὲρ φύσιν σου ἀγαθότητα, καὶ διὰ τὰς τῆς Μητρός σου καὶ πανάγνου Θεοτόκου, τῆς ἐλπίδος μου μετὰ σέ, πρεσβείας· καὶ πάντων σου τῶν θειοτάτων Ἀγγέλων, καὶ Ἀρχαγγέλων. καὶ διὰ τὰς τῶν Ἁγίων σου Πάντων δεήσεις. Ἀμήν

(α) ψαλμ: μ: 4. (β) ψαλμ: ριή. 116.



Εὐχὴ Β΄. πρὸ τοῦ ὕπνου.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, ἐλέησόν με τὸν ἁμαρτωλόν, καὶ συγχώρησόν μοι τῷ ἀναξίῳ δούλῳ σου ὅσα σοι ἥμαρτον παρ᾽ ὅλον τὸν τῆς ζωῆς μου χρόνον, καὶ ἕως τῆς σήμερον. καὶ εἴτι ὡς ἄνθρωπος ἐπλημμέλησα, τὰ ἑκούσιά μου πταίσματα, καὶ τὰ ἀκούσια, τὰ ἐν ἔργῳ καὶ λόγῳ, τὰ κατὰ νοῦν, καὶ κατὰ διάνοιαν, τὰ ἐκ συναρπαγῆς καὶ ἀπροσεξίας, καὶ πολλῆς μου ῥαθυμίας, καὶ ἀμελείας. εἴτε τὸ ὄνομά σου τὸ Ἅγιον ὤμοσα, εἴτε ἐπιόρκησα, ἢ ἐβλασφήμησα κατὰ διάνοιαν, ἤ τινὰ ἐλοιδόρησα, ἢ ἐσυκοφάντησα, ἢ ἐλύπησα, ἢ ἔντινι παρώργισα, ἢ ἔκλεψα, ἢ ἐπόρνευσα, ἢ ἐψευσάμην, ἢ ἐλαθροφάγησα, ἢ φίλος κατέλαβε πρός με καὶ παρεῖδον αὐτόν, ἢ ἀδελφὸν ἔθλιψα καὶ παρεπίκρανα, ἢ ἱσταμένου μου εἰς προσευχὴν καὶ ψαλμῳδίαν, ὁ νοῦς μου ὁ πονηρὸς εἰς τὰ πονηρὰ περιεπόλευσεν, ἢ παρὰ τὸ πρέπον ἐτρύφησα, ἢ ἀφθόνως ἐγέλασα, ἢ εὐτράπελα ἐλάλησα, ἢ ἐκαινοδόξησα, ἢ ὑπερηφανευσάμην, ἢ κάλλος μάταιον ἐθεασάμην, καὶ ὑπ᾽ αὐτοῦ ἐθέλχθην, ἢ τὰ μὴ δέοντα μοι ἐφλυάρησα, εἴτε τῆς προσευχῆς μου ἠμέλησα, ἢ τὴν ἐντολὴν τοῦ Πνευματικοῦ μου Πατρὸς οὐκ ἐφύλαξα, ἢ ἠργολόγησα, ἢ ἄλλο τι πονηρὸν ἐποίησα, ταῦτα γὰρ πάντα, καὶ πλείονα τούτων ἔπραξα, ὧν οὐδὲ μέμνημαι. ἐλέησον Κύριε, καὶ συγχώρησόν μοι πάντα, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ἵνα ἐν εἰρήνῃ κοιμηθήσωμαι καὶ ὑπνώσω, ὑμνῶν καὶ εὐλογῶν, καὶ δοξάζων σε, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι. Ἀμήν.

Εὐχὴ Γ΄. πρὸ τοῦ ὑπνῶσαι. τοῦ ἁγίου Ἐφραὶμ τοῦ Σύρου.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὴν Ἁγίαν σου Μητέρα τιμιωτέραν ἀναδείξας πασῶν τῶν ἐπουρανίων Δυνάμεων· αὐτός, Πανάγαθε, διὰ τῶν πρεσβειῶν αὐτῆς, καὶ πάντων σου τῶν Ἁγίων, παρακλήθητι, καὶ συγχώρησόν μοι τῷ ἀναξίῳ δούλῳ σου, εἴτι ἥμαρτον σήμερον, ὡς ἄνθρωπος· μᾶλλον δέ, ὡς ἀπάνθρωπος, τὰ ἑκούσιά μου πταίσματα, καὶ τὰ ἀκούσια· τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ. τὰ ἐκ συναρπαγῆς καὶ ἀπροσεξίας, καὶ πολλῆς μου ῥαθυμίας, καὶ ἀμελείας γεγενημένα. εἴτε

τὰ

τὸ ὄνομάσου τὸ ἅγιον ὤμοσα. εἴτε ἐπιώρκισα, ἢ ἐβλασφήμησα κατὰ διάνοιαν, ἢ ἔντινί σε παρώργισα. ἢ ἔκλεψα, ἢ ἐψευσάμην, ἢ φίλος παρέβαλε πρὸς ἐμὲ, καὶ παρεῖδον αὐτόν· ἢ ἀδελφὸν ἔθλιψα, καὶ παρεπίκρανα· ἢ ἱςαμένου μου ἐν προσευχῇ, καὶ ψαλμῳδίᾳ, ὁ νοῦς μου ὁ πονηρὸς εἰς τὰ πονηρὰ, καὶ βιωτικὰ περιεπόλευσεν· ἢ παρὰ τὸ πρέπον ἐτρύφησα· ἢ εὐτράπελα ἐλάλησα. ἢ ἀφρόνως ἐγέλασα. ἢ ἐκενοδόξησα· ἢ ὑπερηφανευσάμην· ἢ κάλλος μάταιον ἐθεασάμην, καὶ ὑπ' αὐτοῦ ἐθέλχθην τὸν νοῦν. ἢ τὰ μὴ δέοντα ἐφλυάρησα· ἢ τὸ ἐλάττωμα τοῦ ἀδελφοῦ μου περιειργασάμην, καὶ κατέκρινα αὐτὸν καὶ τὰ ἐμαυτοῦ ἀναρίθμητα ἐλαττώματα παρεβλεψάμην· εἴτε τῆς προσευχῆς μου ἠμέλησα. εἴτέ τι ἄλλο πονηρὸν ἐνενόησα· Ταῦτα πάντα, καὶ ἄλλα, ἅπερ ἔπραξα, καὶ οὐ μέμνημαι, συγχώρησόν μοι ὁ Θεὸς τῷ ἀχρείῳ δούλῳ σου, καὶ ἐλέησόν με, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος, ἵνα ἐν εἰρήνῃ κοιμηθῶ, καὶ ὑπνώσω ὁ ἄσωτος ἐγὼ, δοξάζων Σὲ σὺν τῷ Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Εὐχὴ Δ΄. Επικοίτιος διὰ ςίχων Ἰάμβων. Θεοδώρου τοῦ Στουδίτου.

Ο δοὺς τὸν ὕπνον, πᾶσιν εἰς λύτρον κόπων.
Ὧν περ παρέσχεν, ἡ διαυγὴς ἡμέρα·
Κἀμοὶ παράσχοις, Χριςέ μου Θεοῦ Λόγε,
Ἡδὺν τὸν ὕπνον, κοῦφον καὶ ταχυδρόμον,
Ὀνειράτων μὲν τῶν καλῶν πεπλησμένον,
Φαντασμάτων δὲ μὴ καλῶν ἐξωσμένον.
Καὶ μ' ἐξέγειρον, κρουσματοῦντος τοῦ ξύλου.
Σταθηρὸν ἀνέγκλητον εὐθύμως ᾄδειν.
Ἱςῶν πόδας μου καρτερῶς ἐν αἰνέσει,
Φρουρῶν νόα μου, δαιμόνων κακουργίας·
Γλῶτταν τρανῶν μου, πρὸς τὸ μέλπειν εὐτόνως,



Εἰς δόξαν, αἶνον, τοῦ μεγίςου σου κράτους,
Ὅπως τέλειος, νυκτερεύσας ὀρθρίσας,
Τὸ φῶς ἴδοιμι, ἐντολῶν σου πρωΐθεν.

### Εὐχὴ Ε΄. Ἐπικοίτιος.

Κύριε, ὁ τῆς μὲν ἡμέρας τὸ φῶς τοῖς πόνοις, τῆς δὲ νυκτὸς τὸ σκότος τῇ τῶν πόνων ἀναπαύσει τάξας, δός μοι τρεπομένῳ πρὸς ὕπνον, οὕτω διαναπαύσειν ταύτῃ τῇ νυκτὶ τὸ ἐμὸν σῶμα, ὥςε μεταξὺ καθεύδοντος αὐτοῦ, ἐγρηγορεῖν τὴν ψυχήν μου, ἀτενῶς πρὸς Σὲ βλέπειν, καὶ τῷ πόθῳ σου ἀναπτεροῦσθαι. μηδέ με περιόρα, ὅταν πάσας τὰς βιωτικὰς μερίμνας ἀποθῶμαι, ἐφ' ᾧ τὴν ἀναγκαίαν τῇ ἐμῇ ἀσθενείᾳ, ἀνάπαυλαν δοῦναι ἅμα, καὶ σοῦ ἐπιλανθανομένου, μᾶλλον δὲ, ἡ τῆς σῆς ἀγαθότητος, καὶ χάριτος μνήμη ἀνεξάλειπτος ἐν τῇ ἐμῇ ψυχῇ διαμένῃ· ἵνα ὥσπερ τὸ σῶμα, οὕτω καὶ ἡ ἐμὴ συνείδησις ἡσυχίας τυγχάνῃ. Κώλυσον δὲ καὶ τὸ ἐμὸν σῶμα ἐντρυφᾷν τῷ ὕπνῳ, ὅπως ἂν μὴ ἀπολαύῃ πλέον αὐτοῦ, ἢ ὅσον κεκοπιαμένῳ σώματι ἀρκεῖ, ἐφ' ᾧ πρὸς τὴν σὴν θεραπείαν μετὰ ταῦτα κάλλιον παρεσκευᾶσθαι. τέλος δὲ, ἁγνόν με, τά τε κατὰ τὸ σῶμα, καὶ κατὰ τὴν ψυχὴν διατήρησον, καὶ παντὸς κινδύνου ἀπάλλαξον, ἵνα καὶ ὁ ὕπνος μου πρὸς τὴν δόξαν τοῦ σοῦ ὀνόματος ἀναφέρηται· Ἐπειδὴ δὲ οὕτως εὐκαταφόρως πρὸς τὸ ἁμαρτεῖν ἔχω, ὥςε οὐδὲ ταύτην τὴν ἡμέραν δυνηθῆναι ἄπταιςος διαπερᾷν, δέομαί σου, καθάπερ τῷ τῆς νυκτὸς ζόφῳ, τῷ ἐπὶ τὴν γῆν ὑπὸ σοῦ καταπεμπομένῳ τὰ πάντα νῦν κεκάλυπται, οὕτω καὶ τὰ ἐμὰ πταίσματα τῷ σῷ ἐλέει ἀποκρύπτειν, ὡς ἂν μὴ αὐτὰ τῆς πρὸς σὲ εἰσόδου ἀπείργῃ με. Εἰσάκουσόν μου ὁ Θεός μου, ὁ Πατὴρ ἅμα, καὶ Σωτήρ μου ὤν, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, καὶ τοῦ Παναγίου σου Πνεύματος. Ἀμήν.

# ΕΥΧΑΙ :

## λεγόμεναι μετὰ τὸ ἐξεγερθῆναι τοῦ ὕπνου.

### Εὐχὴ Α'. Εἰς τὴν Ἁγίαν Τριάδα.

τοῦ Θείου Χρυσοστόμου.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι· δόξα σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἀεὶ παρορῶν τὰς ἁμαρτίας ἡμῶν· δόξα σοι Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταξιώσας με, καὶ τὴν σήμερον θεάσασθαι. δόξα σοι Παναγία Τριὰς ὁ Θεὸς ἡμῶν. προσκυνῶ τὴν ἀγαθότητά σου τὴν ἀνεκδιήγητον· ὑμνῶ τὴν μακροθυμίαν σου τὴν ἀνεξιχνίαστον· Εὐχαριστῶ, καὶ δοξολογῶ τὸ ἄμετρόν σου ἔλεος, ὅτι μυρίων κολάσεων, καὶ τιμωριῶν ὄντα ἄξιον, ἐλεεῖς, καὶ εὐεργετεῖς με μυρίαις εὐεργεσίαις· Δόξα σοι, Κύριε ὁ Θεὸς ἡμῶν, πάντων ἕνεκα·

### Εὐχὴ β'. ἐν τῷ αὐτῷ καιρῷ.

Τοῦ Ἀββᾶ Ἰσαάκ.

Κύριε ὁ Θεός μου, ὁ ἐπισκεπτόμενος τὴν κτίσιν σου. ᾧτινι δῆλα τὰ πάθη μου, καὶ ἡ ἀσθένεια τῆς φύσεως ἡμῶν, καὶ ἡ ἰσχὺς τοῦ ἀντιπάλου ἡμῶν. Σὺ αὐτὸς σκέπασόν με ἐκ τῆς κακίας αὐτοῦ. διότι ἡ δύναμις αὐτοῦ κραταιά, καὶ ἡ φύσις ἡμῶν ταλαίπωρος, καὶ ἡ δύναμις ἡμῶν ἀσθενής. Σὺ οὖν ἀγαθέ, ὁ ἐπιστάμενος τὴν ἀσθένειαν ἡμῶν, ὁ καὶ βαστάζων τὴν δυσκολίαν τῆς ἀδυναμίας ἡμῶν, φύλαξόν με ἐκ τῆς ταραχῆς τῶν λογισμῶν, καὶ τοῦ κατακλυσμοῦ τῶν παθῶν. καὶ ἀξίωσόν με τῆς λειτουργίας ταύτης τῆς ἁγίας, μήπως ἐν τοῖς πάθεσί μου φθείρω τὴν γλυκύτητα αὐτῆς, καὶ εὑρεθῶ ἐνώπιόν σου ἀναιδὴς καὶ τολμηρός·



### Εὐχὴ Γ'. ἐν τῷ αὐτῷ καιρῷ πάνυ ὡραία. Κυρίλλου Κωνσταντινουπόλεως τοῦ Γέροντος.

Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. (α) " ἔλεγεν ὁ Προφήτης Δαβίδ. Καί, " εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου· " (β) Κἀγὼ δὲ ὁ ἁμαρτωλός, καὶ ἀνάξιος, μετὰ τοῦ Προφήτου καὶ βασιλέως ὀρθρίζω πρὸς σὲ Κύριε ὁ Θεός μου· αὕτη μοι τοῦ ὕπνου ἐξεγειρομένῳ ὑπόθεσις, καὶ πρῶτος τῆς διανοίας λογισμός· ἐπεὶ καὶ χρέος μοι ἀπαραίτητον. τοῦτο ἀποβλέπει γὰρ εἰς αὐτὸ τὸ τέλος, δι᾽ ὃ με ἔπλασαν αἱ χεῖρές σου, ἵνα δηλονότι ὑμνῶ, δοξάζω, καὶ μεγαλύνω τὸ πανάγιόν σου ὄνομα. Σὺ γὰρ εἶ Κύριε, ἀρχὴ ἄνευ ἀρχῆς, καὶ τέλος ἄνευ τέλους· Καθάπερ, γὰρ ἄνευ σοῦ, οὐδεὶς ἠδύνατο κτίσαι τὰ πάντα, οὕτως οὐδ᾽ αὐτὰ ὑπ᾽ ἀλλήλων δημιουργηθῆναι οὐκ ἦν, ἀλλ᾽ ὑπὸ μόνης τῆς σῆς χάριτος, καὶ δυνάμεως. ὅπως σοὶ τὰ πάντα δουλεύῃ, παρ᾽ οὗ καὶ γέγονε, καὶ ἀνυμνῇ, καὶ δοξολογῇ, καὶ κηρύττῃ, τὸ μέγεθος τῆς ἀφάτου σου δόξης· Σὺ οὖν ὑπάρχεις Κύριε ὁ Θεός μου, ὁ Κτίστης, καὶ Δημιουργὸς τῶν ἁπάντων· Σὺ εἶ ὁ δοτὴρ πάντων τῶν ἀγαθῶν. ἤ, τί ἐν τῇ φύσει; ἤ, τί ἐν τῇ χάριτι; ἤ, τί ἐν τῷ σώματι; ἤ, τί ἐν τῇ ψυχῇ; ὅπερ οὐκ ἐκ τῆς σῆς παρήχθη χρηστότητος;
Σὺ γὰρ εἶ πηγὴ τῶν τελειοτήτων. πέλαγος τῶν μεγαλειοτήτων, ἄβυσσος ἐλέους, καὶ θάλασσα οἰκτιρμῶν· Σὺ εἶ ἀμηχάνου κάλλους εἶδος, ἐξ οὗ πάντα τὰ ὄντα ἀρύονται. Σὺ εἶ Θεὸς τῶν Θεῶν. Ἅγιος τῶν Ἁγίων. Βασιλεὺς τῶν Βασιλευόντων καὶ Κύριος τῶν Κυριευόντων. Σὺ εἶ αἰτία τῶν αἰτιῶν. ζωὴ τῶν ζώντων. τάξις, εὐπρέπεια καὶ δόξα πάντων, ὁρωμένων τε καὶ ἀοράτων. Σὺ εἶ ὁ Ποιητής, καὶ Πλάστης μου, ὁ ἐκ τοῦ μὴ ὄντος πλάσας, καὶ μορφώσας με κατ᾽ εἰκόνα σὴν καὶ

---

(α) ψαλμ: ξβ'. 1. (β): αὐτόθι. 7.

καὶ ὁμοίωσιν · Σὺ εἶ ὁ τῆς ἐμῆς ψυχῆς φύλαξ, ὁ τῇ ἀῤῥήτῳ σου προ-
νοίᾳ διατηρῶν με, ἵνα μὴ πάλιν εἰς τὸ μὴ ὂν ἐπανέλθω · Σὺ εἶ ὁ ἁ-
γιάζων, καὶ ἀνυψῶν με διὰ τῆς σῆς χάριτος, καὶ δοξάσαι με θέλων,
καὶ μακαρίσαι, τῆς αἰωνίου σου ζωῆς ἀπολαύοντα. Ἀλλὰ καὶ πρὸς
τούτοις, σὺ εἶ βοηθός μου, καὶ συνήγορος, καὶ εὐεργέτης. Βασιλεύς
μου, καὶ Κύριός μου - Πατήρ μου, καὶ νυμφίος μου · Σὺ εἶ τοκεὺς
τῆς ἐμῆς ψυχῆς, καὶ τέλος ἔσχατον τῆς ἐμῆς εὐδαιμονίας, καὶ ἡ ἀ-
ποκατάστασις τῆς ἐμῆς μακαριότητος, καὶ τῆς ἐμῆς ζωῆς ὁ καταρ-
τισμός.

Ταῦτα πάντα, καὶ πᾶν ὅ, τι ἄλλο εὐτυχές, καὶ γλυκύ, καὶ τίμιον,
καὶ σωτήριον, ὑπάρχεις μοι. καθ' ὅ Θεός μου, καὶ Κύριός μου, καὶ
Ποιητής μου, καὶ Θεὸς καὶ ἄνθρωπος. ὅτι καὶ δἰ ἐμὲ εὐδόκησας ἐνανθρωπῆσαι.
Σὺ εἶ ὁ λυτρωτής μου, ὁ ἐλευθερωτής μου. Σὺ εἶ ἡ ἐμὴ σωτηρία. ἡ ἐμὴ σοφία·
ἡ ἐμὴ δικαιοσύνη. ὁ ἐμὸς ἁγιασμός. ἡ ἐμὴ λύτρωσις. ἡ ἐμὴ κάθαρσις · ἡ ἐμὴ
Θυσία. ὁ ἐμὸς ἀμνός. ὁ ἐμὸς ἀρχιερεύς. ὁ ἐμὸς Παράκλητος. ὁ ἐμὸς
Μεσίτης. ὁ ἐμὸς Διδάσκαλος. ὁ ἐμὸς Ποιμὴν · τὸ ἐμὸν παράδειγμα ·
ὁ ἐμὸς ὑπογραμμός. ἡ ἐμὴ παραμυθία · τὸ ἐμὸν ἀγαλλίαμα · ἡ αἰώνιος
εὐφροσύνη. Σὺ εἶ ὁ ἰατρὸς τῶν ἐμῶν κακῶν · ὁ Θεραπευτὴς τῶν ἐμῶν
παθῶν. ὁ ἐξολοθρευτὴς τῶν ἐμῶν ἁμαρτιῶν. Ὁσάκις γὰρ προσέλθω σοι·
ὁσάκις τὴν θλίψιν τῆς ἐμῆς ἀναγγέλω σοι καρδίας · ὁσάκις θερμὸν ἀπο-
στάλάξει δάκρυον τῶν ἐμῶν ὀφθαλμῶν. ἀνοίγεις τοσάκις μοι, Κύριε Ἰ-
ησοῦ Χριστέ μου, τὰς ἁγίας ἀγκάλας σου, καὶ χεῖρά μοι βοηθείας ὀρέ-
γεις, καὶ ἀπροσδοκήτου με ἐπικουρίας ἀξιοῖς τὸν ἀνάξιον.

Σὺ Κύριε ὁ Θεός μου, τῇ ἄκρᾳ σου ταπεινώσει, τὴν ἐμὴν ἔπαρσιν θε-
ραπεύεις · τῇ σῇ πτωχείᾳ, τὴν ἐμὴν ἄπληστον ἀποσπᾷς φιλοχρημα-
τίαν · τὴν φλόγα τῶν ἐμῶν κακῶν κατασβεννύεις ταῖς θλίψεσιν, ἃς
ὑπέστης δἰ ἐμέ · τὸν ἄγριόν μου θυμόν, τῇ σῇ ἀφάτῳ πρᾳότητι τιθασ-
σεύεις. τὸν φθόνον, ὃν διηνεκῶς ἐν τῇ καρδίᾳ κρύπτω κατὰ τοῦ
πλησίον, τῇ σῇ ἐμφύτῳ ἀγάπῃ, ᾗ με ἠγάπησας, ἀπομαραίνεις. τὴν
ἐμὴν γαστριμαργίαν, καὶ λαγνείαν τὴν σατανικήν, τῇ χολῇ καὶ τῷ
ὄξει,



ὄξει, ὧν περ ἐγεύσω δἰ ἐμέ, καταργεῖς. τὴν ὀλέθριον ἀκηδίαν, καὶ
ὀκνηρίαν ἀφαιρεῖς ἀπ' ἐμοῦ, τοῖς πόνοις, οἷς ὑπέμεινας δἰ ἐμέ, ὅτι
καὶ δἰ ἐμὲ ἐνήστευσας, περιεπάτησας, ἐκοπίασας, ἵδρωσας, ἠγρύπνη-
σας, προσηύξω, ἐδάκρυσας, ἐδιώχθης, ὑβρίσθης, ἐνεπαίχθης, ἐνεπτύ-
σθης, ἐμαστίχθης, στέφανον ἐξ ἀκανθῶν ἐφόρεσας, σταυρὸν ὑπέμεινας, καὶ
τέλος θάνατον ἑκούσιον κατεδέξω, ταφὴν τριήμερον, καὶ τὴν εἰς Ἅ-
δου κάθοδον. ἅπερ πάντα, Κύριε ὁ Θεός μου, ὑπέστης δἰ ἐμέ, καὶ
πάντα ὡς εὐεργεσίας εἰς ἐμὲ τὸν ἀνάξιον καὶ ἔχω, καὶ λογίζομαι,
καὶ μετρῶ, καὶ ἀποδέχομαι, καὶ φθέγγομαι, καὶ ὁμολογῶ, καὶ κη-
ρύττω ·

Διὰ ταῦτα τοίνυν ἐγώ, τῇ σῇ χάριτι, γλυκύτατε Δέσποτα, καὶ
Κύριε Ἰησοῦ Χριστὲ καὶ Θεέ μου, ὀφειλέτης, καὶ χρεώστης ὤν, ἀπορῶ
τί σοι ἀνταποδώσω περὶ πάντων τούτων! ἀγνοῶ, πῶς εὐχαριστήσω
σοι, τοσαύτην εἰς ἐμὲ δείξαντι φιλανθρωπίαν · καὶ εὐσπλαγχνίαν, δἰ
ἥν, εἴπερ ἐγὼ τὰς ἁπάντων εἶχον καρδίας, καὶ γλώσσας, καὶ πά-
σαις ὁμοῦ βουληθείην εὐχαριστεῖν σοι, καὶ ἀγαπᾷν σὲ τὸν οὕτως ἀ-
γαπήσαντά με. οὐδ' οὕτως ἱκανῶς ἔδοξα ἄν, κἂν δἰ ὀλίγου τοσοῦτον
χρέος ἐκτίσαι. τί οὖν ποιήσω ὁ ἀνάξιος; ἢ τί εἴπω; οὐδὲν ἕτερον δύ-
ναμαι, φιλάνθρωπε Κύριε, εἰμὴ μόνον χάριτάς σοι ὁμολογεῖν, καὶ κη-
ρύττειν σου τὴν ἀνείκαστον ἀγαθότητα, καὶ τὸ πρὸς ἐμὲ σου ἄφατον
ἔλεος; Οὐκ ὀκνήσω δέ, Κύριε καὶ Θεέ μου, καὶ συμμαχίαν πρὸς τοῦτο
παρ' ἑτέρων λαβεῖν, καὶ πᾶσαν τὴν κτίσιν προσκαλέσασθαι, τὸν οὐ-
ρανόν, καὶ τὴν γῆν, καὶ πάντα τὰ ὁρατά, καὶ ἀόρατα ἔργα τῶν
χειρῶν σου, ὅπως μοι ἕκαστον συνεπικουρήσῃ, εἰς τὸ ὑμνῆσαι, καὶ εὐ-
λογῆσαί σε, καὶ ᾆσαί σοι τὸν ὕμνον, ὃν οἱ εὐσεβέστατοι τρεῖς σου Παῖ-
δες, ἐν τῇ καμίνῳ τοῦ πυρὸς ἔψαλλον λέγοντες. " Εὐλογεῖτε πάντα
τὰ ἔργα Κυρίου τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας, "
Πάσης οὖν εὐχαριστίας, καὶ εὐλογίας ἐγώ σοι χρεώστης ὑπάρχων.
Κύριε ὁ Θεός μου, ἀδιαλείπτως αἰνέσω, καὶ δοξολογήσω σε πάσας τὰς
ἡμέρας τῆς ζωῆς μου. σὺ γὰρ εἶ ὁ πλάσας με. σὺ ὁ τῷ τιμίῳ σου
αἵματι

αἵματι ἐξαγοράσας με. σὺ ὁ συντηρῶν με τῇ χάριτίσου ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ ἐν πάσῃ ὥρᾳ, καὶ ςιγμῇ, τήν τε ψυχὴν, καὶ ζωὴν τὴν ἐμὴν ἐπισκεπτόμενος, καὶ φυλάττων· δἰ ὅπερ σόι γίνομαι καὶ ὅλος σοῦ ἄνευ ἐμαυτὸν κινῆσαι, ἤἄλλοτι ποιῆσαι ἀδυνατῶ, εἰμὴ σὺ εὐδοκήσῃς ὅ περ ἐμαυτῷ συνειδῶςὁ ταπεινὸς, καὶ ἀνάξιος, ἀπότου νῦν, καὶ ἀπὸ τῆς ὥρας ταύτης, Κύριε ὁ Θεός μου, ἀφοσιοῦμαίσοι· καὶ ἀένναον δοῦλον ἐμαυτὸν τῇ σῇ μεγαλειότητι ἀποκαθιςῶ, καὶ προσφέρωσοι ἀπὸ τοῦ νῦν πάντα μου λογισμὸν ἀγαθόν· πᾶν ῥῆμα. πᾶν ἔργον, ὅ, τι ἂν ἐργάσωμαι, εἰς δόξαν τῆς σῆς μεγαλοπρεπείας. ὑπὲρ πάντα δὲ ἐμαυτόν σοι προσφέρω, ἵνα μηκέτι ἐμαυτοῦ ὦ, ἀλλὰ σοῦ τοῦ Δημιουργοῦ, Πλάςουτε, καὶ Ποιητοῦ μου. καὶ ὅπως ζῶ, οὐχ ὡς ἐγὼ θέλω, ἀλλ᾽ ὡς εὐάρεςόν ἐςιν ἐνώπιόνσου. ὁδὲ βίος μου ἅπας, ὅπως γυμνάζηται εἰς ἐργασίαν τῶν ἐντολῶν σου. καὶ τούτων ὁσάκις ἐκκλίνω, πράξας ἄθεσμα, γνώσομαι, ὅτι παραβάτης εἰμὶ, καὶ λῃςής, ὡς ἁρπάσας τὴν Σοὶ τῷ ἀγαθῷ Δεσπότῃ μου καὶ φιλανθρώπῳ δικαίως ὀφειλομένην ὑπακοήν. Ὅπερ μὴ γένοιτο! μηδὲ παραχωρήσῃ μοι τούτου ἡ δικαιοσύνη σου. ὅτι ἀσθενὴς εἰμι, καὶ οἶδα, ὅτι οὐκ ἰσχύω, οὐ δὲ ἱκανὸς ὑπάρχω ὁ ἄθλιος, καὶ ταλαίπωρος, ἀπ᾽ ἐμαυτοῦ εἰς ἔργον ἀγαγεῖν ταύτην μοι τὴν ἐπαγγελίαν.

Διὰ τοῦτο δέομαί Σου Κύριε ὁ Θεός μου, γλυκύτατε Ἰησοῦ Χριςέ μου, βοηθός μου γενοῦ. κούφισον τῇ παντοδυνάμῳ Σου χειρὶ τὴν ἀσθένειάν μου, καὶ κτίσον ἐν ἐμοὶ καρδίαν καθαρὰν, καὶ ταύτην δυνάμωσον, ὅπως διαμείνω ὁ ἀνάξιος τὸν χρόνον ἅπαντα τῆς ζωῆς μου, ἔχων ἀσφαλῆ τὸν τοιοῦτον λογισμὸν, καὶ τὴν θέλησιν ἀμετάτρεπτον, εἰς τὰ μηδόλως παραβῆναι τοῦ λοιποῦ τὸ σὸν θέλημα, καὶ τὴν γενομένην μοι πρὸ τῆς σῆς ἀοράτου δόξης ἐν τῇ ὥρᾳ ταύτῃ ὑπόσχεσιν. πρὸς τούτοις χάρισαί μοι ἐν τῇ ἡμέρᾳ ταύτῃ, νοῦν καὶ σύνεσιν, καὶ μνήμην, ἵνα πάντοτε μελετῶ, καὶ φυλάττω τὰ σὰ προςάγματα, μὴ ἐπιλανθανόμενος Σοῦ τοῦ Θεοῦ μου καὶ εὐεργέτου. Τολμῶ δὲ καὶ ταῦτα παρὰ τῆς πλουσίας

σίας



σίας Σου, καὶ φιλανθρώπου γνώμης (α) αἰτήσασθαι χαλινὸν γλώττης· φυλακὴν ςόματος· ὀφθαλμῶν παιδαγωγίαν· νέκρωσιν σαρκός· ὀρέξεων πασῶν τῶν σαρκικῶν συςολὴν, καὶ καθαίρεσιν τῆς ἐν τοῖς μέλεσί μου ἀταξίας.

Ταῦτα αἰτοῦμαί Σε, Κύριε ὁ Θεός μου Ἰησοῦ Χριςέ μου. καὶ δέομαί Σου προσπίπτων· δέομαι οὐχ ἅπαξ, ἀλλὰ μυριάκις· μή με τῆς χάριτος ταύτης ἀπαξιώσῃς. σὺν τούτοις δὲ, δώρησαί μοι βαθεῖαν ταπείνωσιν, συντριβὴν, καὶ κατάνυξιν· ὑπομονὴν καὶ πραότητα· ὑπακοὴν καὶ πτωχείαν πνεύματος· ζῆλον ὑπὲρ τῆς δόξης τοῦ Σοῦ ὀνόματος· ἀγάπην, καὶ μακροθυμίαν πρὸς τὸν πλησίον, καὶ τὴν προσήκουσαν πρὸς ἐκεῖνον συμπάθειαν· ἵνα διὰ τούτων δοξάζηται ἐν ἐμοὶ τὸ Πανάγιόν Σου ὄνομα σὺν τῷ Ἀνάρχῳ Σου Πατρί, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐχὴ λεγομένη μετὰ τὴν ἀπόλυσιν τῆς ἀκολουθίας, διὰ τὰς
ἐν τῷ μεταξὺ τῆς δοξολογίας συμβαινούσας
παρατροπὰς τοῦ νοός.

Φιλάνθρωπε, καὶ ἐλεῆμον Κύριε, ὁ ἀξιώσας με καὶ κατὰ τὴν παροῦσαν ὥραν ςῆναι ἐνώπιόν σου εἰς προσευχὴν, καὶ δοξολογίαν τοῦ κράτους σου, συγχώρησόν μοι ὅσα ἀπὸ παιδικῆς ἡλικίας ἐν πάσαις μου ταῖς αἰσθήσεσιν ἥμαρτόν σοι, πανοικτίρμον, καὶ πολυεύσπλαγχνε. συγχώρησον δέ μοι καὶ τὰ ἀρτίως ἐπιγεγονότα μοι πταίσματα ἐν τῷ τῆς προσευχῆς ταύτης καιρῷ, διὰ μετεωρισμοῦ, καὶ πλάνης, καὶ ῥεμβασμοῦ· διὰ λογισμῶν ὑψηλοφροσύνης, καὶ κενοδοξίας· διὰ θυμοῦ, ὀργῆς, καὶ

---

(α Γνώμη ἐνταῦθα ἐκλαμβάνεται: ἡ ἁπλῶς ῥοπὴ ἐπὶ τὸ θελητόν. κατα τὸν Βλεμμίδην, καθ᾽ ὅ σημαινόμενον, φαμὲν διαπεπράχθαι τὶ κατὰ γνώμην Θεοῦ, καὶ οὐχὶ ἡ ἐκ προβουλεύσεως. καὶ κρίσεως περί τι διάθεσις. καὶ ὅρα τὸν περὶ πίςεως λόγον τοῦ Βλεμμίδου.

μνησικακίας · διὰ τῆς ἀναιδοῦς καὶ μιαρᾶς βλασφημίας · δι ὀλιγωρίας ,
καὶ ὄκνου , καὶ ῥαθυμίας · δι αἰχμαλωσίας , καὶ ἀπαγωγῆς τοῦ νοός ,
καὶ τῆς διανοίας , εἰς ἀτόπους καὶ πονηρὰς ἐπιθυμίας , ἵνα μὴ καυχή-
σηται Σατὰν ὁ ἐχθρός κατ' ἐμοῦ · ὅτι οὐδ' ἐν αὐτῷ τῷ καιρῷ τῆς ἐξομο-
λογήσεως , καὶ προσευχῆς μου , ἀναμάρτητος διετηρήθην . δεῖξον οὖν
ὑπεράγαθε Κύριε , ὅτι σὺ εἶ ὁ ἐξουσιάζων τοῦ σοῦ πλάσματος · καὶ σοῦ
ἐςι τὸ κράτος , καὶ ἡ βασιλεία , εἰς τοὺς ἀπεράντους αἰῶνας · Ἀμήν .

Εὐχὴ λεγομένη πρὸ τῆς ἀναγνώσεως .

Κύριε Ἰησοῦ Χριςέ , διάνοιξον τὰ ὦτα , καὶ τοὺς ὀφθαλμοὺς τῆς
καρδίας μου , τοῦ ἀκοῦσαί με τὰ λόγιά σου , καὶ συνιέναι , καὶ ποιῆσαι
τὸ θέλημά σου . ὅτι πάροικός εἰμι ἐν τῇ γῇ · μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς
ἐντολάς σου . ἀλλὰ ἀποκάλυψον τοὺς ὀφθαλμούς μου , καὶ κατανοήσω
τὰ θαυμάσια ἐκ τοῦ νόμου σου . ἐπὶ σοὶ γὰρ ἐλπίζω ὁ Θεός μου , ἵνα σύ μου
φωτίσῃς τὴν διάνοιαν . ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων .
Ἀμήν .

Εὐχαὶ κατὰ τὸ μέτρον τῶν εἰκοσιτεσσάρων
ὡρῶν τοῦ νυχθημέρου ἐπιγραφόμεναι
Ἰωάννῃ τῷ Χρυσοςόμῳ .

Κύριε μὴ ςερήσῃς με τῶν ἐπουρανίων σου καὶ αἰωνίων ἀγαθῶν ·
β'. Κύριε , λύτρωσαί με τῶν αἰωνίων κολάσεων .
γ'. Κύριε , εἴτε λόγῳ , εἴτε ἔργῳ , εἴτε κατὰ νοῦν , καὶ διάνοιαν ἥμαρ-
τον συγχώρησόν μοι ·
δ'. Κύριε , λύτρωσαί με ἀπὸ πάσης ἀνάγκης , καὶ ἀγνοίας , καὶ λήθης ,
καὶ ῥαθυμίας , καὶ τῆς λιθώδους ἀναισθησίας ·
έ. Κύριε , λύτρωσαί με ἀπὸ παντὸς πειρασμοῦ , καὶ ἐγκαταλείψεως .
ϛ'. Κύριε , φώτισον τὴν καρδίαν μου , ἣν ἐσκότισεν ἡ πονηρὰ ἐπιθυμία .
ζ'. Κύριε , ἐγὼ μέν , ὡς ἄνθρωπος , ἁμαρτάνω · σὺ δὲ ὡς Θεός , ἐλέησόν με .
ή. Κύριε , ἴδε τὴν ἀσθένειαν τῆς ψυχῆς μου , καὶ πέμψον τὴν χάριν σου
εἰς



εἰς βοήθειάν μου , ἵνα ἐν ἐμοὶ δοξασθῇ τὸ ὄνομά σου τὸ Ἅγιον .
θ'. Κύριε Ἰησοῦ Χριςέ , ἔγγραψον τὸ ὄνομα τοῦ δούλου σου ἐν βί-
βλῳ ζωῆς , χαριζόμενός μοι καὶ τέλος ἀγαθόν .
ί. Κύριε ὁ Θεός μου , οὐκ ἐποίησα οὐδὲν ἀγαθόν · ἀλλ' ἀρξαίμην ποτὲ
τῇ εὐσπλαγχνίᾳ σου .
ιά. Κύριε , βρέξον εἰς τὴν καρδίαν μου τὴν δρόσον τῆς χάριτός σου .
ιβ'. Κύριε ὁ Θεὸς τοῦ οὐρανοῦ , καὶ τῆς γῆς , μνήσθητί μου τοῦ ἁμαρ-
τωλοῦ , τοῦ αἰσχροῦ , τοῦ πονηροῦ , καὶ βεβήλου , κατὰ τὸ μέγα ἔλε-
ός σου , ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου .
ιγ'. Κύριε , ἐν μετανοίᾳ με παράλαβε , καὶ μὴ ἐγκαταλίπῃς με .
ιδ'. Κύριε μὴ εἰσενέγκῃς με εἰς πειρασμόν .
ιέ. Κύριε , δός μοι ἔννοιαν ἀγαθήν .
ιϛ'. Κύριε , δός μοι δάκρυον , καὶ μνήμην θανάτου καὶ κατάνυξιν .
ιζ'. Κύριε , δός μοι τῶν λογισμῶν μου ἐξαγόρευσιν .
ιή. Κύριε , δός μοι ταπείνωσιν , ἐκκοπὴν θελήματος , καὶ ὑπακοήν .
ιθ'. Κύριε , δός μοι ὑπομονήν , μακροθυμίαν , καὶ πραότητα .
κ'. Κύριε , ἐμφύτευσον ἐν ἐμοὶ τὴν ῥίζαν τῶν ἀγαθῶν , τὸν φόβον σου .
κά. Κύριε , ἀξίωσόν με ἀγαπᾷν σε ἐξ ὅλης μου τῆς ψυχῆς , καὶ τῆς
διανοίας , καὶ τῆς καρδίας , καὶ τηρεῖν ἐν πᾶσι τὸ θέλημά σου .
κβ'. Κύριε , σκέπασόν με ἀπό τε ἀνθρώπων πονηρῶν , καὶ Δαιμόνων ,
καὶ παθῶν , καὶ ἀπὸ παντὸς μὴ προσήκοντος πράγματος .
κγ'. Κύριε , ὡς κελεύεις · Κύριε , ὡς γινώσκεις · Κύριε , ὡς βούλει .
γενηθήτω τὸ θέλημάσου ἐν ἐμοί .
κδ'. Κύριε , τὸ σὸν θέλημα γενέσθω , καὶ μὴ τὸ ἐμόν . Πρεσβείαις
καὶ ἱκεσίαις , τῆς Παναγίας Θεοτόκου , καὶ πάντων τῶν Ἁγίων σου .
ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας · Ἀμήν .

ΒΙΒΛΙΟΘΗΚΗ

## Εὐχὴ εἰς τὸν Κύριον, καὶ πάντας τοὺς ἁγίους ἐξομολογιτικὴ·

Κυριέμου Κύριε, γλυκύτατὲ μου Ἰησοῦ Χριςέ. ὁ Θεὸς τῶν οἰκτιρμῶν.
ἡ τοῦ ἐλέους ἄβυσσος. ὁ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων· ἐμὲ μετανο-
οῦντα ἀρτίως, καὶ πίςει προσερχόμενον ὑπόδεξαι, καὶ ἐλέησόν με τὸν
ἁμαρτωλὸν, τὸν ἄσωτον, τὸν παμβέβηλον, τὸν πανάθλιον, τὸν βλά-
σφημον, τὸν ἐπίορκον, τὸν ψεύςην, τὸν λοίδορον, τὸν ὑβριςὴν, τὸν
καταλάλον, τὸν ὀργίλον, τὸν μνησίκακον, τὸν φθονερὸν, τὸν σκαν-
δαλοποιὸν, τὸν ἄσπλαγχνον, τὸν ἀνελεήμονα, τὸν φιλοκτήμονα, τὸν
φιλόδοξον, τὸν φιλήδονον, τὸν γαςρίμαργον, τὸν μέθυσον, τὸν ῥάθυ-
μον, τὸν γελωτοποιόν, τὸν μετεωριςὴν, τὸν κενόδοξον, τὸν ὑπερήφα-
νον, τὸν καταφρονητὴν τῶν θείων σου ἐντολῶν, Καὶ μὴ διὰ τὸ πλῆθος
τῶν τοσούτων μου ἐγκλημάτων, τῷ πλήθει ὑποβάλῃς με τῶν κολάσεων.
Ἀλλὰ σὺ Κύριε Ἰησοῦ ὁ Θεὸς μου, ὁ μακρόθυμος, καὶ οἰκτίρμων, οἰ-
κτείρησον τὴν ἐμὴν καρδίαν, τὴν συντετριμμένην ταῖς ἁμαρτίαις, καὶ
κατακεκριμένην ὑπὸ τοῦ συνειδότος, διὰ τὸ μὴ φυλάξαι τὰς Ἱερὰς συν-
θήκας τοῦ ἁγίου βαπτίσματος, καὶ τοῦ θείου καὶ Ἀγγελικοῦ σχήμα-
τος τῶν Μοναχῶν· Καὶ νῦν διὰ τὰς διττὰς ταύτας ὑποσχέσεις ςενά-
ζω, καὶ ὀδύρομαι, ἐλεηθῆναι δωρεὰν, καὶ μόνῃ τῇ σῇ χρηςότητι συγ-
χωρηθῆναι δεόμενος, καὶ τῶν κολάσεων ἐλευθερωθῆναι ἐν τῇ φοβερᾷ
ἡμέρᾳ τῆς κρίσεως. Ναὶ Κυριέμου Κύριε, γλυκύτατέ μου Ἰησοῦ, σῶ-
σόν με ἀπεγνωσμένον, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς ἐλπίδος, καὶ
προσδοκίας μου· Οἰκτείρησόν με τὸν τοὺς οἰκτιρμοὺς σου ἐπικαλούμε-
νον. καθάρισόν με τὸν ἐσπιλωμένον· λεύκανον τὸν ῥυπωθέντα μου χι-
τῶνα, καὶ διάσωσόν με τὸν ἄσωτον. μὴ κατακρίνῃς με τὸν κατακε-
κριμένον. μὴ παραδῷς τοῖς νοητοῖς θηρίοις τὴν ψυχὴν ἐπικαλουμένην
σε. μὴ τῇ φλογὶ τῆς γεέννης καταδικάσῃς με, διὰ τὴν παράβασιν
τῶν ὑποσχέσεων, καὶ ἱερῶν συνθηκῶν τοῦ ἁγίου Βαπτίσματος, καὶ
τοῦ Ἀγγελικοῦ σχήματος.

Κυριέμου Κύριε, γλυκύτατέ μου Ἰησοῦ, ὁ μακρόθυμος, καὶ ἀνεξίκα-



κος, καὶ ἀμεταμέλητος ἐν τοῖς χαρίσμασίσου· ὁ ὁδηγήσας με πρὸς τὴν
Ἀγγελικὴν διαγωγὴν, καταξίωσόν με ἀπὸ τῆς σήμερον εἰλικρινῶς σοι
λατρεῦσαι ἐν ἀγαθοῖς ἔργοις, πρὸς τὸ ποιῆσαί τινα καρπὸν τῆς με-
τανοίας ἐπάξιον, καὶ διατηρῆσαι ὁσίως τὸ τῆς Μοναδικῆς πολιτείας ἐ-
πάγγελμα, καὶ ἐκπληρῶσαι τὰς Ἱερὰς συνθήκας, ἀμώμους, καὶ ὁλο-
κλήρους. Κύριε μου Κύριε, γλυκύτατέ μου Ἰησοῦ, Παντοκράτορ, μεγα-
λοδύναμε, κραταιέ, ἐμφύτευσον τῇ καρδίᾳ μου τὸν φόβον σου, καὶ τὴν
ἀγάπην τῶν νόμων σου. τὸν νοῦν μου καταύγασον ταῖς ἀκτῖσι τῶν
χαρισμάτων σου, τὰς αἰσθήσεις μου τῷ λόγῳ σου ὑπόταξον. τὴν θέ-
λησίν μου πρὸς σὲ τὸ μόνον ἀληθινὸν ἐφετὸν ἐπίςρεψον. τὴν γλῶσσάν
μου παιδαγώγησον, ἵνα λέγῃ καθ᾽ ἑκάςην, " Κύριε Ἰησοῦ Χριςὲ Υἱὲ
τοῦ Θεοῦ, διὰ τῆς μακαρίας. ἀειπαρθένου Θεοτόκου, ἱλάσθητίμοι τῷ
ἁμαρτωλῷ, καὶ σῶσόν με. Κύριε, διὰ τοῦ τιμίουσου, καὶ ζωοποιοῦ
ςαυροῦ, φύλαξόν με· Κύριε, διὰ τῶν ἁγίων σου Ἀγγέλων τείχισόν
με· Κύριε, διὰ τῶν ἁγίωνσου Ἀποςόλων, καὶ Μαρτύρων, ὅπλισόν
με· Κύριε, διὰ τῶν ἁγίων σου Πάντων, κατάπεμψον ἐπ᾽ ἐμὲ τὸ μέ-
γασου ἔλεος, καὶ δωρεὰν σῶσόν με τὸν ὠνητὸν τῷ ὑπερτίμῳ σου
αἵματι.

Τὰς πολυχρονίους τῶν ἁμαρτιῶν μου κηλίδας ἐξάλειψον· τὰ τῆς λαγ-
νείας, καὶ πονηρίας Πνεύματα ἀπ᾽ ἐμοῦ ἀποδίωξον· τῶν τοῦ παρόν-
τος αἰῶνος προσπαθειῶν μου ἀπάλλαξον ὅλον με πρὸς τὴν ἀγάπην τῆς
ἀϊδιότητος ἕλκυσον· καὶ τὴν ςενὴν καὶ τεθλιμμένην ὁδὸν ὁδεύειν ἐνί-
σχυσον, μέχρι τῆς ἐσχάτης μου ἡμέρας, καὶ ὥρας, καὶ ἀναπνοῆς,
ὅπως Ἀγγέλοις ἀγαθοῖς τὴν ψυχήν μου ἀναθῶ, καὶ τῶν τελωνίων τοῦ
ἀέρος ἐλευθερωθῶ, καὶ τοῖς ἀπ᾽ αἰῶνος Ἁγίοις συναριθμηθῶ, καὶ τῶν
αἰωνίων ἀγαθῶν καταξιωθῶ.

Εὐσπλαγχνικωτάτη τοῦ γλυκυτάτου μου Ἰησοῦ Μήτηρ πρέσβευε ὑπὲρ
ἐμοῦ τοῦ ἀθλίου, καὶ ἁμαρτωλοῦ, ἵνα εἰσακούσῃ μου τῆς πενιχρᾶς δεή-
σεως ὁ Υἱός καὶ Θεός σου· Σταυρὲ πανσεβάσμιε, τὸ ὅπλον τῆς σω-
τηρίας ἡμῶν. τῆς ἡμετέρας σωτηρίας τὸ σύμβολον· ἀποδίωξον ἀπ᾽

11 ἐμοῦ

ἐμοῦ πάντα πονηρόν λογισμόν, καί πᾶσαν ἐπιβουλήν τῆς τοῦ ἀντικειμένου δυνάμεως, διά Δαιμόνων, καί ἀνθρώπων ἐνεργουμένην. Παμμέγιστοι Ταξιάρχαι, Μιχαήλ, καί Γαβριήλ, ἐγγυηταί μου καί ῥῦσαι· Ἅγιε Ἄγγελε, φρουρέμου, καί φύλαξ, καί πάντες ἅγιοι Ἄγγελοι τοῦ Θεοῦ, ὁδηγεῖτέμε εἰς τό πανάγιον τοῦ Θεοῦ Θέλημα. ἀντιλαμβάνεσθέ μου τῆς ἀσθενείας, ἥν καί σώματι, καί γνώμῃ περίκειμαι. φυλάττετέμε ἐκ τῶν ἐπιβουλῶν τοῦ ἐχθροῦ. καί πρεσβεύσατε τῷ ἐλεήμονι Δημιουργῷ, ἵνα ἐλεήσῃ με τόν παραβάτην τῶν ἁγίων αὐτοῦ ἐντολῶν, καί ἐν εἰρήνῃ ψυχῆς, καί μετανοίᾳ ἀληθινῇ δώῃ μοι πολιτεύεσθαι μέχρι τοῦ τῆς ζωῆς μου τέλους. Καί ἐν τῇ ἐξόδῳ τῆς ψυχῆς μου ἀπό τοῦ σώματος, παράστητέ μοι ἐγγύθεν παρήγοροι, περιθάλποντες, περιφρουροῦντες, καί πληροφοροῦντές μοι τήν ἀπαλλαγήν τῶν ὑπό γῆν κολαστηρίων, διά μόνην τήν τοῦ Θεοῦ ἐλεημοσύνην.

Ἅγιε ἔνδοξε Ἰωάννη, Προφῆτα, καί Πρόδρομε, καί Βαπτιστά τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πρέσβευε ὑπέρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι ἔνδοξοι, Θεοκήρυκες, καί Πρωτοκορυφαῖοι Ἀπόστολοι, Πέτρε, Παῦλε, Ἰωάννη Θεολόγε, σύν τοῖς λοιποῖς Εὐαγγελισταῖς, καί Ἀποστόλοις, πρευσβεύσατε ὑπέρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Αγιοι, καί Δίκαιοι Θεοπάτορες, Ἰωακείμ καί Ἄννα, Ἰωσήφ μνήστωρ καί Συμεών Θεοδόχε, πρεσβεύσατε ὑπέρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Αγιοι Προφῆται, καί κήρυκες τῆς παρουσίας Χριστοῦ τοῦ Θεοῦ, πρεσβεύσατε ὑπέρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι Πατέρες, Ποιμένες, καί Διδάσκαλοι τῆς Οἰκουμένης, Βασίλειε, Γρηγόριε, Ἰωάννη χρυσόστομε, Ἀθανάσιε, Κύριλλε, Νικόλαε, Σπυρίδων· καί πάντες ἅγιοι Ἱεράρχαι, πρεσβεύσατε ὑπέρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι Ἱερομάρτυρες, Ὁσιομάρτυρες, καί Ὁμολογηταί, πρεσβεύσατε ὑπέρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ· Ἅγιοι Μεγαλομάρτυρες, Δημήτριε, Γεώργιε, Θεόδωρε, Ἀρτέμιε, Προκόπιε, οἱ Τεσσαράκοντα, καί πάντες ἅγιοι Μάρτυρες, πρεσβεύσατε ὑπέρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ἅγιοι Ἀνάργυροι καί θαυματουργοί, Κοσμᾶ καί Δαμιανέ, Κῦρε, καί Ἰωάννη· Παντελεῆμον καί Ἑρμόλαε, καί οἱ λοιποί, πρεσβεύσατε ὑπέρ ἐμοῦ τοῦ



ἁμαρτωλοῦ. Ὅσιοι Θεοφόροι Πατέρες, Ἀντώνιε, Παῦλε, Εὐθύμιε, Σάββα, Ἀρσένιε, Ὀνούφριε, Παχώμιε, Θεοδόσιε, Ἐφραίμ, Ἰωάννη Δαμασκηνέ, Ἰωάννη τῆς κλίμακος, Πέτρε, Ἀθανάσιε, καί παντες Ὅσιοι, πρεσβεύσατε ὑπέρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ. Ὁσία Μαρία Αἰγυπτία καί ὅσαι τῶν τιμίων, καὶ ὁσίων Γυναικῶν, αἱκαλῶς ἀσκήσασαι καί ἀθλήσασαι, καί τόν Χριστόν ὁμολογήσασαι, πρεσβεύσατε ὑπέρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ, Ἅγιοι Πάντες οἱ ἀπ' αἰῶνος εὐαρεστήσαντες τῷ Κυρίῳ, πρεσβεύσατε ὑπέρ ἐμοῦ τοῦ ἀναπολογήτου, καί ὑπέρ πάντας τοὺς ἀπ' αἰῶνος ἁμαρτωλούς ἁμαρτωλοῦ.

Ὢν τάς ἱκεσίας καί παρακλήσεις προσδεξάμενος, καί εἰσακούσας, Κύριε Κύριε, γλυκύτατέ μου Ἰησοῦ, συγχώρησόν μοι εἴτι σοι ἥμαρτον ἀπό γεννήσεώς μου, καί μέχρι τῆς νῦν ἡμέρας, καί ὥρας, ἐν λόγῳ, ἔργῳ, γνώσει, καί ἀγνοίᾳ, κατά νοῦν, καί διάνοιαν, καί ἐν πάσαις μου ταῖς αἰσθήσεσιν. ὡσαύτως συγχώρησον, καί ἐλέησον, καί τούς Πατέρας, καί ἀδελφούς μου, καί πάντας τούς ἁπανταχοῦ Ἀρχιερεῖς, Ἱερεῖς, Μοναχούς, καί ὀρθοδόξους χριστιανούς, καί τούς μισοῦντας, καί ἀγαπῶντάς με, καί τούς ἐλεοῦντας, καί διακονοῦντάς μοι, καί τούς ἐντειλαμένους μοι τῷ ἀναξίῳ εὔχεσθαι ὑπέρ αὐτῶν· καί οὕς ἔβλαψα, ἤ ἐλύπησα, ἤ κατηγορησάμην, καί τούς τά αὐτά μοι ποιοῦντας, ἤ ποιήσαντας· καί χάρισαι τά συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, ἐν τῷ νῦν αἰῶνι, καί ἐν τῷ μέλλοντι, ὡς εὐδοκεῖ ἡ φιλανθρωπίασου. ἀνάπαυσον καί τούς προαπελθόντας Πατέρας, καί ἀδελφούς ἡμῶν· καί δι' εὐχῶν πάντων οἰκτείρησόν μου τήν ἀθλιότητα, καί ποίησόν με οἷον θέλεις, καί ὡς θέλεις, κἄν θέλω, κἄν μή θέλω.

Καί καταξίωσόν με ἀνενόχως, καί ἀκατακρίτως μεταλαβεῖν τῶν ἀχράντων, καί ζωοποιῶν σου μυστηρίων. καί μή εἰς κρίμα, ἤ εἰς κατάκριμα γένοιτόμοι, ἀναξίως τούτοις προσερχομένῳ, ἀλλ' εἰς κάθαρσιν καί ῥῶσιν ψυχῆς καί σώματος, εἰς ἀπαλλαγήν τῶν αἰωνίων κολάσεων, καί εἰς ἀῤῥαβῶνα τῆς ἀτελευτήτου, καί μακαρίας ζωῆς. ἐν ᾗ σύνταξόν με μετά πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων, Κύριέμου

Κύριε, γλυκύτατέ μου Ἰησοῦ, ὅτι σοὶ πρέπει ἡ δόξα, ἡ τιμὴ, καὶ ἡ ἐκ πάντων προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Αμήν.

### Εὐχὴ ἐξομολογητική.
### Τοῦ Ὁσίου Ἰακώβου.

Πῶς ἀτενίσω πρὸς Σὲ ὁ Θεός; ποίαν δὲ ἀρχὴν τῆς ἐξομολογήσεως εὕροιμι; ποίᾳ καρδίᾳ; ἢ ποίῳ θαῤῥήσας συνειδότι, γλῶσσαν ἀσεβῆ, καὶ χείλη μολυσμοῦ γέμοντα, κινῆσαι πειράσομαι; ποίας δὲ ἁμαρτίας πρῶτον ἄφεσιν αἰτῆσαι κατατολμήσω; φεῖσαι φιλάνθρωπε Κύριε! ἵλεως γενοῦ τῷ ἀναξίῳ Δέσποτα ἀγαθέ! καὶ μὴ συναπολέσῃς με ταῖς αἰσχραῖς μου πράξεσιν. οὐ γὰρ μικρά μου τὰ δυσσεβήματα· πορνείαν ἐτέλεσα, ἀρσενοκοιτίαν, αἰσχρολογίαν, καὶ συμβουλίαν πρὸς ἁμαρτίαν. Καὶ νῦν Κύριε εἰδότι σοι τὰ πάντα ἐξομολογοῦμαι Ἀγαθέ, τὴν τούτων ἐξαιτούμενος ἄφεσιν. μὴ παρίδῃς με Δέσποτα! ἀλλὰ κατὰ τὴν σοὶ πρέπουσαν εὐσπλαγχνίαν, οἰκτήρησόν με τὸν ἀσεβῆ, καὶ κατάπεμψον εἰς ἐμὲ τὸ παρὰ Σοῦ πλούσιον ἔλεος, ἐλθόντα ἐπὶ τὰ τῆς ἁμαρτίας βάραθρα. κατεπόντισέ με γὰρ ἡ τοῦ λυμεῶνος ἐχθροῦ καταιγίς· μηδὴ καταπίῃ με ὁ δράκων ὁ βύθιος.

### Εὐχὴ τοῦ ἐπὶ Μαυρικίου τοῦ Βασιλέως ἀρχιληστοῦ, ψυχωῤῥαγοῦντος, καὶ σὺν δάκρυσι πολλοῖς τε καὶ πικροῖς, ἐπὶ πολλὰς ὥρας λέγοντος ταύτην

Οὐ ζητῶ τι πλέον παρὰ Σοῦ φιλάνθρωπε, ἀλλ' ὅσα δι' ἐξομολογήσεως ὁ πρὸ ἐμοῦ ληστὴς ἱκέτευε· καὶ ὡς εἰς ἐκεῖνον τὸν ληστὴν, οὕτω καὶ εἰς ἐμὲ τὸν ληστὴν, θαυμάστωσον τὰ ἐλέη τῆς σῆς φιλανθρωπίας· δέξαι μου τοῦτον τὸν ἐπιθανάτιον ἐν τῇ κλίνῃ κλαυθμόν. καὶ ὡς ἐκείνους τοὺς περὶ τὴν ἑνδεκάτην ὥραν ἐδέξω, μηδὲν ἄξιον ἐργασαμένους, οὕτω δέξαι κἀμὲ, ἐν τοῖς μικροῖς δάκρυσί μου βαπτίζων, καὶ καθαίρων με ἐν





αὐτοῖς. παράσχου μοι τὴν συγχώρησιν, μὴ ἀπαιτῶν μέ τι πλέον· οὐ γὰρ παρέχει ἡ ὥρα, τῶν ἐκσπηλευτῶν ἐγγισάντων. ἀλλὰ μὴ ἀντιτείνῃς, μηδὲ στιβαρήσῃς· οὐ γὰρ εὑρήσεις ἐν ἐμοί τι ἀγαθόν. κατέλαβόν με γὰρ αἱ ἁμαρτίαι μου, καὶ πρὸς ἑσπέραν ἥκω κακῶς. ὅτι ἀμύθητά μου τὰ χρέη. ἀλλ' ὡς ἐδέξω τοῦ Πέτρου τὸν πικρὸν κλαυθμὸν, οὕτω πρόσδεξαι καὶ τὸν ἐμὸν φιλάνθρωπε, ἐπιχέων ταῦτα τὰ δάκρυα ἐπὶ τὸ τῶν ἁμαρτιῶν μου χειρόγραφον, καὶ τῷ σπόγγῳ τῆς εὐσπλαγχνίας σου ἐξάλειψον τὰ ἀνείκαστά μου πλημμελήματα.

### Εὐχὴ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, πάνυ κατανυκτικὴ καὶ ἱκετήριος· τοῦ Ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ· (α) ὁ οὖν καθ' ἑσπέραν λέγων αὐτὴν μετὰ κατανύξεως, εἰ ἐπέλθει ἐπ' αὐτὸν ἡ φοβερὰ ὥρα τοῦ θανάτου ἐν τῇ νυκτὶ ταύτῃ, λυτροῦται τῆς κολάσεως ἐλέει Θεοῦ.

Εὔσπλαγχνε, καὶ πολυέλεε Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός μου, ὁ ἐλθὼν εἰς τὸν Κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγὼ, ἐλέησόν με πρὸ τῆς ἐμῆς τελευτῆς. οἶδα γὰρ ὅτι φρικτὸν καὶ φοβερὸν ἀναμένει με δικαστήριον, ἐνώπιον πάσης τῆς κτίσεως, ὅτε καὶ τῶν ἐναγῶν καὶ παμβεβήλων μου πράξεων ἁπασῶν, φανέρωσις γίνεται· ἀσύγγνωστα γὰρ ὡς ἀληθῶς, καὶ ἀνάξια ὑπάρχουσι συγχωρήσεως, ὡς ὑπερβαίνοντα τῷ πλήθει ψάμμον θαλάσσιον· διὰ τοῦτο καὶ οὐ τολμῶ τὴν αἴτησιν τῆς ἀφέσεως τούτων ποιήσασθαι, Δέσποτα, ὅτι πλεῖον πάντων ἀνθρώπων εἰς σὲ ἐπλημμέλησα. ὅτι ὑπὲρ τὸν ἄσωτον ἀσώτως ἐβίωσα. ὅτι ὑπὲρ τὸν μυρία τάλαντα, χρεωφειλέτης σου γέγονα· ὅτι ὑπὲρ τὸν Τελώνην, κακῶς ἐτελώνησα. ὅτι ὑπὲρ τὸν ληστὴν, ἐμαυτὸν ἐθανάτωσα· ὅτι ὑπὲρ τὴν πόρνην, ἐγὼ ὁ φιλόπορνος ἔπραξα· ὅτι ὑπὲρ τοὺς Νινευΐτας ἀμετανόητα ἐπλημμέλησα· ὅτι ὑπὲρ τὸν Μανασσῆν, ὑπερῆραν τὴν κεφα-



(α) Ἄλλοι δὲ ταύτην φασὶ ποίημα εἶναι Ἀναστασίου τοῦ Συναΐτου.

…ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ… ΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ…

λήν μου αἱ ἀνομίαι μου, καὶ ὡσεὶ φορτίον βαρὺ, ἐβαρύνθησαν ἐπ᾿ ἐμέ· καὶ ἐταλαιπώρησα, καὶ κατεκάμφθην ἕως τέλους.'' ὅτι τὸ Πνεῦμά σου τὸ ἅγιον ἐλύπησα· ὅτι τῶν ἐντολῶν σου παρήκουσα· ὅτι τὸν ἀῤῥαβῶνα, ὅν μοι δέδωκας, ἐν ἁμαρτίαις ἐνήλωσα· ὅτι τὸ τίμιον κατ᾿ εἰκόνα σου, τὴν ψυχήν μου, ἐμόλυνα· ὅτι τὸν χρόνον, ὅν μοι δέδωκας εἰς μετάνοιαν, μετὰ τῶν ἐχθρῶν σου ἐβίωσα· ὅτι οὐδεμίαν ἐντολήν σου ἐφύλαξα· ὅτι τὸν χιτῶνά μου κατεῤῥύπωσα, ὅν με ἐνέδυσας· ὅτι τοῦ ὀρθοῦ λόγου τὴν λαμπάδα ἀπέσβεσα· ὅτι τοὺς ὀφθαλμούς μου, οὓς ἐφώτισας, ἑκουσίως ἐτύφλωσα· ὅτι τὰ χείλη μου, ἅπερ πολλάκις τοῖς θείοις σου μυστηρίοις ἡγίασας, αἰσχύναις ἐμόλυνα·

Καὶ οἶδα, ὅτι πάντως τῷ φοβερῷ σου Βήματι παραστήσομαι, ὡς κατάδικος ὁ παμμίαρος· οἶδα, ὅτι πάντα τότε τὰ πεπραγμένα μοι ἐλεγχθήσονται, καὶ οὐκ ἀποκρυβήσεται οὐδὲν παρὰ σοί. ἀλλὰ δέομαί σου, εὐσυμπάθητε, πολυέλεε, φιλανθρωπότατε Κύριε. ''μὴ τῷ θυμῷ σου ἐλέγξῃς με,'' οὐ λέγω μὴ παιδεύσῃς με· ἀδύνατον γὰρ τοῦτο ἀπὸ τῶν ἔργων μου· ἀλλα ''μὴ τῷ θυμῷ σου ἐλέγξῃς με.'' (α) κερδήσω τοῦτο παρὰ σοί. ἐὰν μὴ τῷ θυμῷ σου, καὶ τῇ ὀργῇ σου παιδεύσῃς με, μηδὲ φανερώσῃς αὐτὰ, Ἀγγέλων καὶ ἀνθρώπων ἐνώπιον, εἰς αἰσχύνην μου καὶ ὄνειδος. ''Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με.'' εἰ φθαρτοῦ βασιλέως θυμὸν ἐνεγκεῖν οὐδεὶς δύναται· πόσῳ μᾶλλον σοῦ τοῦ Κυρίου τὸν θυμὸν ὁ ἄθλιος ὑποστήσομαι; ''Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με·'' οἶδα λῃστὴν αἰτήσαντα, καὶ παρευθὺς συγχώρησιν ἐκ τοῦ κομισάμενον· οἶδα πόρνην ὁλοψύχως προσελθοῦσαν. καὶ συγχωρηθεῖσαν· οἶδα Τελώνην ἐκ βάθους στενάξαντα, καὶ δικαιωθέντα. ἐγὼ δὲ ὁ πανάθλιος πάντας ὑπερβαίνων ταῖς ἁμαρτίαις, τῇ μετανοίᾳ τούτους οὐ θέλω μιμήσασθαι· οὐδὲ γὰρ ἔχω δάκρυον ἐκτενές. οὐκ ἔχω ἐξομολόγησιν καθαρὰν καὶ ἀληθινήν· οὐκ ἔχω στεναγμὸν ἐκ βάθους καρδίας· οὐκ ἔχω καθαρὰν τὴν ψυχήν· οὐκ ἔχω ἀγάπην κατὰ Θεόν. οὐκ ἔχω

(α) ψαλμ: ς. 1.



πτωχείαν πνευματικήν· οὐκ ἔχω προσευχὴν διηνεκῆ· οὐκ ἔχω σωφροσύνην ἐν τῇ σαρκί· οὐκ ἔχω καθαρότητα λογισμῶν· οὐκ ἔχω προαίρεσιν θεοτερπῆ· ποίῳ οὖν προσώπῳ, ἢ ἐν ποίᾳ παῤῥησίᾳ ζητήσω συγχώρησιν;

''Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με.'' πολλάκις Δέσποτα, μετανοεῖν συνεταξάμην. πολλάκις ἐν Ἐκκλησίᾳ κατανυγεὶς προσπίπτω σοι, ἐξερχόμενος δέ, ταῖς ἁμαρτίαις εὐθὺς περιπίπτω· ποσάκις με ἠλέησας, ἐγὼ δέ σε παρώργισα! ποσάκις ἐμακροθύμησας, ἐγὼ δὲ οὐκ ἐπέστρεψα! ποσάκις με ἀνέστησας, ἐγὼ δὲ πάλιν ὀλισθήσας κατέπεσον! ποσάκις μου εἰσήκουσας, ἐγὼ δέ σου παρήκουσα! ποσάκις με ἐπόθησας, ἐγὼ δὲ οὐδαμῶς σοι ἐδούλευσα! ποσάκις με ἐτίμησας, ἐγὼ δὲ οὐκ εὐχαρίστησα! ποσάκις ἁμαρτήσαντα, ὡς ἀγαθὸς πατὴρ, παρεκάλεσας, καὶ ὡς υἱὸν κατεφίλησας, καὶ τὰς ἀγκάλας ὑφαπλώσας μοι, ἐβόησας· ἔγειραι, μὴ φοβοῦ, στῆθι, πάλιν δεῦρο, οὐκ ὀνειδίζω σε, οὐ βδελύσσομαι, οὐκ ἀποῤῥίπτω, οὐδὲ σκληρύνω τὸ ἐμὸν πλάσμα, τὸ ἐμὸν τέκνον, τὴν ἐμὴν εἰκόνα· ὃν οἰκείαις χερσὶ διέπλασα ἄνθρωπον, καὶ ἐφόρεσα· ὑπὲρ οὗ τὸ αἷμα ἐξέχεα· οὐκ ἀποστρέφομαι πρός με ἐρχόμενον τὸ λογικόν μου πρόβατον τὸ ἀπολωλός· οὐδύναμαι μὴ ἀποδοῦναι τὴν προτέραν εὐγένειαν. οὐ δύναμαι μὴ συναριθμῆσαι τοῖς ἐννενήκοντα ἐννέαπροβάτοις· διὰ γὰρ τοῦτο καὶ μόνον ἐπι τῆς γῆς κατελήλυθα, καὶ τὸν λύχνον ἀνῆψα, τὴν σάρκα μου τὴν οἰκείαν, καὶ τὴν οἰκίαν ἐσάρωσα, καὶ τὰς φίλας δυνάμεις τὰς οὐρανίους συνεκαλεσάμην ἐπευφρανθῆναι τῇ τούτου εὑρέσει. Πάντα οὖν τὰ τοιαῦτα, ὡς ἀγαθὸς, καὶ φιλανθρωπος ἐχαρίσω μοι, Δέσποτα. ἐγώ δε πάντων καταφρονήσας ὁ ἄθλιος, εἰς ἀλλοτρίαν, καὶ μακρὰν χώραν τῆς ἀπωλείας ἀπέδρασα. ἀλλ᾿ αὐτός με, πανάγαθε, πάλιν ἐπανάγαγε, καὶ μὴ ὀργισθῇς μοι τῷ τάλανι Κύριε. μηδὲ τῷ θυμῷσου ἐλέγξῃς με εὔσπλαγχνε. ἀλλά μακροθύμησον καὶ ἔτι ἐπ᾿ ἐμοί· μὴ σπεύσῃς ἐκκόψαι με, ὡς τὴν συκῆν τὴν ἄκαρπον. μηδὲ κελεύσῃς ἄωρον ἐκ τοῦ βίου θερίσαι με, ἀλλὰ δός μοι ζωῆς προθεσμίαν, καὶ ὁδήγησόν με εἰς μετάνοιαν, Κύριε· καὶ '' μὴ τῷ θυμῷσου ἐλέγξῃς με,

Δέσποτα, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με."

Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι τῇ ψυχῇ, ἀσθενής εἰμι τῷ λογισμῷ. ἀσθενὴς τῇ γνώμῃ, ἀσθενὴς τῇ προαιρέσει. ἐξέλιπε γάρ μου ἡ ἰσχύς· ἐξέλιπέ μου ὁ χρόνος· ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι μου πᾶσαι, καὶ τὸ τέλος ἐφέστηκεν. ἀλλ' ἄνοιξον, ἄνοιξόν μοι Κύριε, ἀναξίως κρούοντι, καὶ μὴ ἀποκλείσῃς μοι τὴν θύραν τῆς εὐσπλαγχνίας σου. ἐὰν γὰρ σὺ κλείσῃς, τίς μοι ἀνοίξει; ἐὰν σὺ μή με ἐλεήσῃς, τίς μοι βοηθήσει; οὐδεὶς ἄλλος οὐδεὶς, εἰ μὴ σὺ ὁ φύσει ἐλεήμων καὶ εὔσπλαγχνος." Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι." (α) ἐξενεύρισε γάρ με ἐχθρὸς, καὶ ἀσθενῆ, καὶ συντετριμμένον ἐποίησεν. ὁ ἀσθενὴς δὲ καὶ συντετριμμένος. οὐ δύναται ἀναστῆσαι ἑαυτὸν, οὐδύναται ἰάσασθαι ἑαυτόν. ὁ συντετριμμένος οὐ δύναται βοηθῆσαι αὐτῷ. λοιπὸν, ἐλέησον με Κύριε, ὅτι ἀσθενής εἰμι·

Ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου." (β) ἐταράχθη καὶ συνετρίβη ἡ ψυχήμου· ὁ οὖν συντετριμμένος τὰ ὀστᾶ, οὐ δύναται ἀναστῆναι, καὶ ζητῆσαι τὸν ἰατρόν. οὐ δύναται δραμεῖν, καὶ ῥυσθῆναι τοῦ ἐχθροῦ. λοιπὸν σύμε ζήτησον, Δέσποτα, ὁ ἐλθὼν ζητῆσαι τὸ ἀπολωλός. σύμε τὸν λῃσταῖς περιπεσόντα ἐπίσκεψαι. οὐ γὰρ ἡμιθανῆ, ἀλλ' ὁλοθανῆμε εἰργάσαντο· λοπὸν, ἴασαίμε Κύριε, ὅτι ἀσθενῆ, καὶ σεσηπότα ὁ ἐχθρός με πεποίηκεν· ὁ δὲ ἀσθενὴς, καὶ σεσηπὼς, ὅλος κεῖται χαμαί· ὅλος ἔῤῥιπται πτῶμα ἐλεεινόν. μόνον, ὅτι ἐπικαλεῖται τὸν ἰατρόν, μόνον, ὅτι φωνεῖ τὸν ῥυόμενον. μόνον, ὅτι τοῖς ὀφθαλμοῖς περισκοπεῖ, πότε ἥξει, καὶ ἐπισκέψηται αὐτὸν, ὁ ἰώμενος τοὺς συντετριμμένους τῇ καρδίᾳ, καὶ ἀνορθῶν τοὺς κατεαγμένους, καὶ σώζων τοὺς ἀπεγνωσμένους·

" Ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα." σωματικὸς, καὶ ψυχικός με κατέλαβε τάραχος, Δέσποτα, ὅτι σαρκικοῖς περιέπεσα πάθεσιν· ὅτι καὶ τὴν σάρκα, καὶ τὴν

ψυχὴν

(α) ψαλμ: ϛ: 2· (β) ψαλμ· αὐτόθι.



ψυχὴν τοῖς Δαίμοσιν ἐποίησα παίγνιον. Ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶμου, τὰ συνδεσμοῦντα τὸν ἔσω ἄνθρωπον. ποῖα ταῦτα; ἡ πίστις, ἡφρόνησις, ἡ ἐλπὶς, ἡ δικαιοσύνη, ἡ ἐγκράτεια, ἡ εὐσέβεια, ἡ πρᾳότης, ἡ ταπεινοφροσύνη, καὶ ἡ ἐλεημοσύνη. ταῦτα τὰ ὀστᾶ συνετρίβησαν, Δέσποτα· ἀλλ' " ἴασαί με Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶμου, καὶ ἡ ψυχήμου ἐταράχθη σφόδρα." ὁρῶ γὰρ λοιπὸν τὴν ὥραν τῆς ζωῆς μου προφθάσασαν, καὶ ἡ ψυχήμου ἐταράχθη σφόδρα. ὁρῶ τὴν πρὸς τὰ ἐκεῖσε χαλεπὴν ὁδὸν, καὶ μακρὰν, καὶ πρὸς τὰ ἐκεῖσε ἐμαυτὸν, ἑτοίμως μὴ ἔχοντα." καὶ ἡ ψυχήμου ἐταράχθη σφόδρα." ὁρῶ τὸν δανειστὴν ἀπαιτοῦντά με, καὶ μὴ ἀποδοῦναι ἰσχύοντα." καὶ ἡ ψυχήμου ἐταράχθη σφόδρα." ὁρῶ τὸν λογοθέτην μου τὸ χειρόγραφον ἐπισείοντα, καὶ τοὺς δημίους βρύχοντας κατ' ἐμοῦ· " καὶ ἡ ψυχήμου ἐταράχθη σφόδρα." ὁρῶ πολλοὺς κατηγοροῦντάς με, καὶ οὐδένα συνήγορον· " καὶ ἡ ψυχήμου ἐταράχθη σφόδρα." ὅλος δι' ὅλου ταραχῆς καὶ σκοτοδίνης πεπλήρωμαι, καὶ ἀγωνιῶ, καὶ τρέμω, καὶ φρίττω· καὶ τὰ σπλάγχνα σπαράττομαι, καὶ τί πράξω οὐκ ἐπίσταμαι. ἢ ποίῳ προσώπῳ τὸν Κριτήν μου θεάσωμαι. ἰλιγγιῶ, ταράττομαι, συνέχομαι, καὶ ἀμηχανῶ. καὶ λοιπόν, " ἡ ψυχήμου ἐταράχθη σφόδρα."

Ἐλέησόν με Κύριε, " ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχήμου ἐταράχθη σφόδρα." ὁπονηρὸς διενοχλεῖν οὐπαύεται. οἱ ἐχθροί μου τοῦ πολεμεῖν οὐκ ἀφίστανται· ὁ ἐμφύλιος τῆς σαρκὸς πόλεμος καταφλέγει με πάντοτε. οἱ πονηροὶ λογισμοὶ οὐδαμῶς ἡσυχάζουσι·

Καὶ σὺ Κύριε, ἕως πότε; ἰδοὺ ὁρᾷς Κύριε, πάντα τὰ κατ' ἐμέ. ὅτι ἄπορα, καὶ ἐλεεινά· Ἰδοὺ βλέπεις τὴν κατ' ἐμοῦ ἔνστασιν, καὶ τὸν πόλεμον τοῦ σώματος, καὶ τὴν κάμινον τῶν παθῶν, καὶ τὴν ἀτονίαν τῆς ψυχικῆς μου δυνάμεως. λοιπὸν Κύριε, ἕως πότε οὐ συμπαθεῖς; ἕως πότε οὐκ ἐκδικεῖς; ἕως πότε οὐ σπεύδεις; ἕως πότε οὐ βλέπεις; ἕως πότε παρορᾷς; Κύριε, ἐν τῷ ἐλέει σου σῶσόν με. μὴ παρίδῃς με Κύριε, τὸν ἀνάξιον ἕνεκεν τοῦ ἐλέους σου. ἡ γὰρ σὴ παρόρασις, ἐμὴ

κατα-

κατάπτωσις γίνεται, Δέσποτα!

Διό ἐπίςρεψον Κύριε, ῥῦσαι τὴν ψυχήν μου, καὶ σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου· ὡς συμπαθὴς, ἐλέησον· ὡς ἐλεήμων, συμπάθησον, ὡς φιλάνθρωπος, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, καὶ οὐχ ἕνεκεν τῶν ἔργων μου, πονηρὰ γάρ εἰσιν. οὐχ ἕνεκεν τῶν πόνων μου. ἀσθενής γάρ εἰμι. οὐχ ἕνεκεν τῶν λογισμῶν, ἢ τῶν λόγων μου. ῥυπαροὶ γάρ εἰσι καὶ ἀκάθαρτοι: ἀλλ' ἕνεκεν τοῦ ἐλέους σου· πολυέλεε Κύριε, σῶσόν με· εἰ δὲ δικάσασθαι πρός με βούλει, Δέσποτα, ἐγώ πρῶτος ἐκφέρω κατ' ἐμαυτοῦ τὴν ψῆφον· ἐγώ καταδιαμαρτύρομαι, ὅτι ἄξιος θανάτου εἰμὶ· λοιπὸν σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου· εἰς τὴν φιλανθρωπίαν σου καταφεύγω, Πανάγαθε· οὐκ ἔχω τίσοι προσαγαγεῖν ἄξιον. ἐλεημοσύνην ζητῶ· μὴ ἀπαιτήσῃς με τὴν ταύτης τιμήν.

Μνήσθητι τῶν λόγων σου Κύριε, ὅτι ἐπιμελῶς ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ·" (α) Καὶ" ἄνθρωπος ματαιότητι ὡμοιώθη, καὶ αἱ ἡμέραι αὐτοῦ, ὡσεί σκιὰ παράγουσι·" (β) Καὶ" οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου." (γ) Καὶ" ὅτι ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέμε ἡ μήτηρμου." (δ) Ἐὰν γάρ ἀνομίας παρατηρήσῃς ἡμῶν, οὐδεὶς ὑποςήσεται Κύριε· διό σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου ἕνεκεν τοῦ ἐλέους σου, καὶ οὐχ ἕνεκεν τῶν ἔργωνμου.

Ἐὰν γὰρ τὸν ἄξιον ἐλεήσῃς οὐδὲν θαυμαςόν· ἐὰν τὸν δίκαιον σώσῃς, οὐδὲν ξένον." σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου.," (ε) ἐπ' ἐμοὶ τὸ ἔλεός σου θαυμάςωσον Κύριε. εἰς ἐμὲ τὴν εὐσπλαγχνίαν σου ἐμφάνισον, Δέσποτα· εἰς ἐμὲ τὴν φιλανθρωπίαν σου μεγάλυνον, Ἅγιε. δεῖξον ἐπ' ἐμοὶ Κύριε, τὰ ἀρχαῖα ἐλέησου. ὅτι τοὺς μὲν δικαίους σώζεις, καὶ τοὺς ἁμαρτωλοὺς ἐλεεῖς. μὴ νικήσῃ ἡ ἐμὴ κακία τὴν σὴν ἀγαθότητα, Κύριε· μηδὲ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλουσου. ἐὰν γὰρ θελήσῃς

(α) Γένεσ έ: Κεφ. (β) ψαλμ ρμγ: 5. (γ) Ιώβ. Κεφ: ιδ':
(δ) ψαλμ: ν'. 6: (ε) ψαλμ: ς'. 3.



μετ' ἐμοῦ δικάσασθαι, φραγήσεταί μου τὸ στόμα, μὴ ἔχον τί φθέγξασθαι ἤ τι ἀπολογήσασθαι· διὸ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλουσου μηδὲ ἐπιςαθμήσῃς τὰς ἐμὰς ἁμαρτίας τῇ σῇ ἀπειλῇ." ἀλλ' ἀπόςρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον." (α) καὶ σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου Κύριε." καὶ τὸ ἔλεός σου καταδιῶξαι με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου·" (β) καταδιωξάτω με τὸ ἔλεός σου Κύριε, τὸν κακῶς ἀπὸ σοῦ φεύγοντα· τὸν ἀεί ἀπὸ σοῦ δραπετεύοντα, πρὸς τὴν ἁμαρτίαν ἀεί κακῶς ἀποτρέχοντα.

Τοῦτο μόνον ἐπικαλοῦμαι, καὶ ἱκετεύω, καὶ δέομαι·" σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. σῶσόν με πρὸ τοῦ ἀπελθεῖν εἰς τὰ ἐκεῖσε δικαςήρια. ἢ μᾶλλον τἀληθὲς εἰπεῖν, εἰς τὰ ἐκεῖσε κολαςήρια. ἔνθα οὐκ ἔςι μετάνοια, οὔτε ἐξομολόγησις. ἐν γὰρ τῷ Ἅδῃ, φησί, τίς ἐξομολογήσεταίσοι; (γ) διὸ σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου," ὅτι οὐκ ἔςιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· " οὐδ' ἐν τῷ Ἅδῃ ὁ ἐξομολογούμενος. ἐκεῖ γὰρ οὐκ ἔςι μετάνοια. οὐκ ἔςιν ἄφεσις τοῖς ὧδε μὴ μετανοοῦσι, μηδὲ ἐξομολογουμένοις· διό σῶσόν με μετανοοῦντά σοι, καὶ ἐξομολογούμενον τὸν ἀνάξιον δοῦλόν σου, ἕνεκέν τοῦ ἐλέους σου, Κύριε, καὶ οὐχ ἕνεκεν τῶν ἔργων μου· σὺ γὰρ εἶπας, Κύριε, „ ζητεῖτε καὶ εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν." (δ) καὶ," ὅσα ἂν αἰτήσητε, πιςεύοντες λήψεσθε. " (ε) διό σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου φιλάνθρωπε Δέσποτα, ἵνα καὶ ἐπ' ἐμοὶ δοξασθῇ τὸ πανάγιον, καὶ ὑπερδεδοξασμένον ὄνομά σου, Κύριε ὁ Θεός μου, ὁ δι' ἐμὲ κατ' ἐμὲ γεγονώς· ὡς ἂν κἀγὼ μετὰ πάντων τῶν ἁγίων συναριθμηθεὶς, δοξάζωσε τὸν ὑπεράγαθον, καὶ φιλάνθρωπον Θεόν μου Ἰησοῦν Χριςὸν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν·

(α) ψαλμ. ν'· 9 (β) ψαλμ. κβ. 8: (γ) ψαλμ ς': 4: (δ) Ματθ: Κεφ ζ'. (ε) Ματθ. Κεφ. κα 22

## Εὐχὴ εἰς τὴν Παντοβασίλισσαν Θεοτόκον·
## Καλλίςου Μοναχοῦ.

Φιλάνθρωπε, φιλάγαθε, φιλεύσπλαγχνε, Παρθενομῆτορ, Θεόνυμφε ...ποινα, καὶ Κυρία ὁρατῆς τε, καὶ νοουμένης κτίσεως πάσης! ὡς ...ν Ποιητὴν τούτων καὶ Δεσπότην ἀφράςως γεννήσασα καὶ παῤῥησίαν διὰ τοῦτο ἀνείκαςον πρὸς αὐτὸν ἔχουσα, ἐπίβλεψον εὐμενῶς ἐπ' ἐμὲ τὸν ἁμαρτωλόν, ταλαίπωρον, καὶ ἀνάξιον δοῦλόν σου, τὸν ἀεὶ ἐν ἀμελείᾳ, καὶ ῥαθυμίᾳ βιοῦντα, καὶ ταῖς ἡδοναῖς δελεαζόμενον καὶ κατασπι...λούμενόν, καὶ διὰ παντὸς μέλους μολυνόμενον, δι' ὁράσεως, δι' ἀκοῆς, διὰ γλώττης, δι' ἀφῆς, δι' ὀσφρύσεως, καὶ ἁπλῶς εἰπεῖν, ὅλως ὅλον ἐμοῦ ἁμαρτίαν γενόμενον, καὶ μηδὲν ὑγιὲς ὑπόλοιπον ἔχοντα. ἅπαξ γὰρ ὑπὸ τῆς ἁμαρτίας νικηθείς, ἄγομαι πρὸς ὅπερ ἂν αὕτη βούληται. λοιπόν, μεγάλης μοι βοηθείας χρεία, ἣ οὐκ ἔςιν ἐν πάσῃ τῇ κτίσει, πλὴν Σου τῆς Παντοδυνάμου.

Διὸ μή με παρίδῃς Πανάχραντε· πάντες γὰρ παρεῖδον, καὶ παρῆλθόν με, ὁρῶντές μου τὸ ἀνίατον· Προφῆται, Ἀπόςολοι, Διδάσκαλοι, Δίκαιοι, θεῖοι Πατέρες, καὶ ὑπελείφθην μόνος, ὡς νεκρὸς ἐν τάφῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου. καὶ ὁ βοηθήσων μοι τὸ παράπαν οὐδείς· ἔχων δὲ μικρὸν ἔτι ζωῆς λείψανον, μικρᾷ βοῇ βοῶ πρὸς σέ, Πανύμνητε Θεοτόκε, τὴν πάντα δυναμένην, τὴν πάντα ἀνύουσαν· καὶ γάρ, οἷά περ θέλεις, καὶ βούλει, τὰ αὐτὰ καὶ ὁ σὸς Υἱὸς βούλεται. Σὺ γὰρ Παντάνασσα, τὴν αὐτοῦ πεῖναν καὶ δίψαν πληροῖς, ἥτις ἐςὶν ἡ τῶν βροτῶν σωτηρία· καὶ εἰς τοῦτο κατεσκεύασέ σε μητέρα αὐτοῦ, εἰς τὸ τελεῖν τὰ καταθύμια αὐτοῦ· χαίρει γὰρ καὶ ἀγάλλεται, ἡνίκα αἰτεῖς ὑπὲρ τῶν καταπονουμένων ἀνάκλησιν· μάλιςα δὲ ὑπὲρ ἐμοῦ, τοῦ ὁλόσωμον ἐπιφερομένου πληγήν. ἐπίσκεψαί μου τὴν ἀσθένειαν, εὐλογημένη· θεράπευσόν μου τὰς πληγάς, δεδοξασμένη· ἴδε τὴν κάκωσιν τῆς ψυχῆς μου, ἡ κεχαριτωμένη, ἐν ἀπογνώσει συνέχομαι, καὶ παραβραχὺ τῷ Ἅδῃ ἡ ψυχή μου κατέρχεται, εἰ μὴ σύ, Δέσποινα, βοηθήσεις μοι· ἔχεις τὴν εὐσπλαγχνίαν· ἔχεις τὴν φιλανθρωπίαν· ὅθεν μὴ παρίδῃς μου

τὴν



τὴν οἰκτρὰν ταύτην δέησιν, τὴν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην· ἀλλὰ πάρεσό μοι ἀεὶ ἐπικαλουμένῳ σε, καὶ γενοῦ μοι παρηγορία, ...λυντε· γενοῦ μοι παραμυθία, ἀκήρατε· γενοῦ μοι γαλήνη, γλυκ...· γενοῦ μοι κάλλος, τοῦ οὐρανίου Πατρὸς πάγκαλε Νύμφη· γενοῦ μοι ...ραϊσμα, πάντων ἡ ὡραιότης· γενοῦ μοι φρουρός, φύλαξ, προςα..., καταφυγή, βοηθός, σκέπη ἐν παντὶ καιρῷ, καὶ τόπῳ, ἐν ἡμέρᾳ, κ... νυκτί, κοιταζομένῳ, ἀνιςαμένῳ, περιπατοῦντι· ἐν πάσῃ μου τῇ ζωῇ ἀδιςάκτως μοι σύνεσο· δύναισαι γάρ· ἀδυνατεῖ δέ σοι οὐδέν.

Τὰς τῶν ἐναντίων ἐφόδους, καὶ ὁρμὰς διασκέδασον, καὶ ἀφάνισον ἐξ ἐμοῦ Παναγία· ἐν τῇ ἐξόδῳ τῆς ταλαιπώρου μου ζωῆς πρόςηθι, καὶ τῆς ἀπαραιτήτου, καὶ φοβερᾶς καταδυναςείας τῶν πονηρῶν Δαιμόνων ἀπάλλαξόν με· μὴ ἐάσῃς, Δέσποινά μου Θεοτόκε, ἐπ' ἐμοὶ τούτους ...ρῆναι· ἀλλ' ὁ σὸς Υἱὸς μᾶλλον, καὶ οἱ Ἅγιοι Ἄγγελοι ἐπὶ τῇ ἐμῇ σωτηρίᾳ χαρίτωσαν, οἱ δὲ αὐτοῦ, καὶ τοῦ αὐτοῦ πλάσμ...ος ἐχθροί, κενοῖς ταῖς ἐλπίσιν εὐφραινέσθωσαν· ἐν δὲ τῇ πανδήμῳ καὶ φοβερᾷ τῆς παγκοσμίου κρίσεως ἡμέρᾳ, τῆς αἰωνίου ῥῦσαί με κολάσεως, καὶ τῆς ἀῤῥήτου δόξης τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ, κληρονόμον με ἀνάδειξον. ναὶ πολυεύσπλαγχνε Μαρία Θεόνυμφε· ἵνα ὑμνῶ, εὐλογῶ, καὶ μεγαλύνω, Σὲ τὴν ἐπέκεινα πάντων τῶν Ἀρχαγγελικῶν ςρατευμάτων, τὴν τιμιωτέραν τῶν Χερουβίμ, τὴν ἐνδοξοτέραν τῶν Σεραφίμ, τὴν τοῦ Θεοῦ ἁγνὴν Μητέρα, κἀμοῦ βεβαίαν ἐλπίδα. νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Εὐχὴ ἑτέρα εἰς τὴν Κυρίαν Θεοτόκον, ἐπὶ ἐνοχλήσει
## πονηρῶν λογισμῶν.

Παναγία Δέσποινά μου Θεοτόκε, ἀποδίωξον ἀπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ ἀναξίου δούλου σου, τὴν ἀκηδίαν, τὴν λήθην, τὴν ἄγνοιαν, τὴν ἀμέλειαν, καὶ πάντας τοὺς πονηροὺς λογισμούς, καὶ αἰσχρούς, καὶ βλασφήμους, ἀποσόβησον ἐκ τῆς ἀθλίας, καὶ ταλαιπώρου μου καρδίας, καὶ ἐκ τῆς μεμολυσμένης μου ψυχῆς, καὶ τοῦ ἐσκοτισμένου μου νοός·

καὶ

καταυθέσόν μου τὴν φλόγα τῶν παθῶν; καὶ ἐλέησον, καὶ βοήθη-
μοι, ὅτι ἀσθενὴς καὶ ταλαίπωρός εἰμι ἐγώ· καὶ ῥῦσαί με, ἀπὸ τῶν ἐπερχομένων μοι πονηρῶν ἐνθυμήσεων, καὶ προλήψεων, καὶ πασῶν τῶν κακῶν μου ἐλευθέρωσον πράξεων, τῶν ἐν νυκτί καὶ ἡμέρᾳ, ὅτι ὑπερευλογημένη ὑπάρχεις, καὶ τὸ ὄνομά σου τὸ ἅγιον δεδοξασμένον, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### Προσευχὴ ὄρθριος.

Ὁ Θεός, ὁ Πατὴρ καὶ Σωτὴρ μου, ἐπειδὴ ἐχαρίσω μοι τὸ διανῦσαι τὴν νύκτα, καὶ μέχρι ταύτης ὥρας περιγενέσθαι, δός μοι καὶ τὸ ταύτην διαπερᾶν εὐαρέστως σοι, ὥστε μηδὲν τὸ παράπαν διανοεῖσθαι, μηδὲ ...εῖν, μηδὲ ποιεῖν, εἰμὴ ἐφ᾽ ᾧ εὐαρεστεῖν σοι, καὶ τῷ σῷ θελήματι πείθεσθαι, ...ν πάντα τὰ ἔργα μου πρὸς δόξαν τοῦ σοῦ ὀνόματος, καὶ τὴν οἰκοδομὴν τοῦ πέλας τείνῃ. ὥσπερ δὲ ἀξιοῖς τὰ ἡμῶν σώματα καταυγάζεσθαι ταῖς τοῦ σοῦ Ἡλίου ἀκτῖσι ταῖς εἰς τὴν γῆν παρὰ σοῦ πεμπομέναις, οὕτω καὶ τὴν ἐμὴν καρδίαν τῇ αὐγῇ τοῦ σοῦ Πνεύματος φώτισον, τῇ πρὸς τὴν σὴν δικαιοσύνην ὁδηγησούσῃ με· ὥστε ᾧ ἂν ποτὲ ἐγχειρήσω πράγματι, πρὸ πάντων ἀεὶ τὸν φόβον σου παραστῆναί μοι, καὶ πάντα πρὸς τὴν σὴν τιμὴν ἀναφέρειν. οὐδὲν γὰρ ἀγαθὸν ἄλλοθεν, ἢ παρὰ τῆς σῆς χάριτος, καὶ εὐλογίας προσδοκῶ. ἵνα μηδ᾽ ὁτιοῦν ὁρμήσω, πλὴν τῶν ἀρεσκόντων σοι ποιεῖν. δός δέ, καὶ τὸ μεταξὺ πονοῦντα ἐπὶ τῷ πορίσασθαι τὰ πρὸς τὸν παρόντα βίον ἀναγκαῖα, περαιτέρω προβαίνειν τῇ διανοίᾳ, ἀποβλέποντα εἰς τὸν ἀΐδιον βίον, ὃν τοῖς σοῖς τέκνοις δώσειν ὑπέσχου. Οὐμὴν ἀλλὰ τοῦ τε σώματος, καὶ τῆς ψυχῆς μου ὑπερασπίζων, πρὸς πάντας τοῦ διαβόλου πειρασμοὺς ὅπλισόν με, καὶ ἀπὸ πάντων τῶν ἐμοὶ ἐπικρεμαμένων κινδύνων ῥῦσον· Ἐπειδὴ δὲ οὐδὲν ὠφελεῖ τὸ ἄρξασθαι καλῶς ποιεῖν, ἐὰν μήτις οὕτω ποιῶν ἢ ἀτελῆ· μὴ εἰς τὴν σήμερον μόνον ἡγεμών, καὶ κυβερνήτης ἐμόι εἴκῃς Κύριε, ἀλλὰ παρὰ πάντα τὸν βίον, ἐπίδοσιν ἐν ἐμοὶ καθ᾽ ἑκάστην λαμβανούσης τῆς σῆς χάριτος, ἕως ἂν παντελῶς ἑνωθῶ τῷ Υἱῷ σου Ἰη-



Ἰησοῦ Χριστῷ, ὅς ἐστιν ὄντως Ἥλιος τῶν ἡμετέρων ψυχῶν; λά... ἡμέρας τε, καὶ νυκτὸς, καὶ εἰς τὸν ἀεὶ χρόνον. Ἵνα δὲ τούτων ... σοῦ καταξιωθῶ, ἀντιβολῶ σε τῶν ἁμαρτηθέντων μοι ἀμνηστεῖν, καὶ διὰ τοῦ σοῦ ἀνεκδιηγήτου ἐλέους συγγνώμην ἐμοὶ ἔχειν, ὥσπερ ἐπηγγείλω ἕξειν πᾶσιν, ὅσοι ἂν ἐκ καρδίας ἐπικαλέσονταί σε· ὑπὲρ ὧν ἁπάντων ἐν ὀνόματι τοῦ σοῦ Υἱοῦ Ἰησοῦ Χριστοῦ ἱκεσίαν σου ποιοῦμαι, κατὰ τὴν ὑπ᾽ αὐτοῦ παραδοθεῖσαν ἡμῖν προσευχήν. λέγων, Πάτερ ἡμῶν ὁ ἐν τοῖς Οὐρανοῖς, καὶ τὰ ἑξῆς. Ταύτην δὲ τὴν εὐεργεσίαν Κύριε ταῖς ἄλλαις πρόσθες, τὸ ἐν τῇ Ἱερᾷ σου Πίστει ἐῤῥιζωμένον διατελεῖν, ἣν σὺ τῇ ἐμῇ καρδίᾳ ὑπὸ τοῦ ἄγαν ἐλέους σου ἐνεφύτευσας, ταύτην καθ᾽ ἑκάστην ἡμέραν ἐν ἐμοὶ αὔξησον, καὶ προσεπιμετρῶν διαλίμπανε, ἕως ἂν ἔμπλεως γένηται, ἧς τὴν ἐξομολόγησιν ποιοῦμαι λέγων.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, καὶ τὰ ἑξῆς.

ΤΕΛΟΣ

ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ.

...ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΠΑΠΑΣΤΡΑΤΟΥ